


600094148W





ANTHOLOGIA LYRICA

CONTINENS

THEOGNIDEM, BABRIUM, ANACREONTEA

CUM

CETERORUM POETARUM

RELIQUIIS SELECTIS.

EDIDIT

THEODORUS BERGK.

LIPSIAE,

APUD REICHENBACHIOS.

MDCCCLIV.

PRAEFATIO.

Cum poetarum Lyricorum carmina curis secundis pertractarem, placuit simul adornare editionem minorem, quae selectas reliquias contineret, qua commode uti possent ii, qui praestantissima haec Graecae poesis monumenta vel ipsi enarrant vel in philologorum seminariis explicanda proponunt, vel denique in gymnasiis interpretantur. Seposui Pindarum, quoniam non desunt huius poetae editiones, Theognidis autem sententias et Anacreontea omnia in ordinem recepi, ceterorum poetarum reliquias potissimas, non quod existimem omnia quae hic delectus continet, continuo ordine explicanda esse, sed ut ii, qui utentur hac editione, ipsi quae sibi inprimis digna videantur eligere possint. Adieci autem, ne quid desideretur, non solum Babrii fabulas integras, sed praeterea selecta carmina eorum poetarum, qui post Alexandri magni tempora floruerunt *). Habet igitur haec Anthologia

*) Elegias de oculorum remediis, alia id genus quod non recepi, haud improbabunt, qui meminerint, curandum fuisse, ne libri vel sic satis ampli paginae modum excederent.

peculiare quid, ut maioris editionis quasi quoddam sit complementum. Ceterum potissimā quae in his, quae accesserunt, novavi paucis significavi, simulque locos notavi, ubi ii versus, qui nondum ab aliis collecti sunt, leguntur. Illud denique monendum, asterisco notata esse ea fragmenta, quae vel adespota feruntur, vel quae ex coniectura ad certum aliquod carmen aut carminum genus sunt revocata.

Scripsi Friburgi die XX. Iulii MDCCCLIII.

Theodorus Bergk.

ANNOTATIONES.

POETAE ELEGIACI.

Hedyle. Athen. VII. 297. B. V. 1. Ἐρυθρῆς, vulgo Ἐρυθραίης, nis praestat . . . φέρων Ἡ κόγχου δωρήματ' Ἐρυθραίης ἀπὸ πέτρης. — V. 5. ἀπονήχετο, fort. ἐπενήχετο.

Hedylum non recepi, nam etiam quod legitur apud Strabonem XIV. 683: Ἤδη οὖν πάρεστι σκοπεῖν τὴν ῥᾳθυμίαν τοῦ ποιήσαντος τὸ ἐλεγεῖον τοῦτο, οὗ ἡ ἀρχή·

Ἱραὶ τῷ Φοίβῳ, πολλὸν διὰ χῦμα θέουσαι
ἤλθομεν αἱ ταχιναὶ τόξα φυγεῖν ἔλαφοι.

εἴθ' Ἡδύλος ἐστίν, εἴθ' ὁστισοῦν· φησὶ μὲν γὰρ ὁρμηθῆναι τὰς ἐλάφους Κωρυκίης ἀπὸ δειράδος, ἐκ δὲ Κιλίσσης ἠιόνος εἰς ἀκτὰς διανήξασθαι Κουριάδας, καὶ ἐπιφθέγγεται, διότι·

Μυρίον ἀνδράσι θαῦμα νοεῖν πάρα, πῶς ἀνόδευτον
χεῦμα δι' εἰαρινῶν ἐδράμομεν ζεφύρων

ex epigrammate petitum videtur.

Philetas. Fr. 4. Ἑρμηνεία, fort. ἱερομηνία. — V. 2. μελαγκράνινον Meineke, vulgo μελαγκραίνον.

Fr. 6. V. 2. ὅμως scripsi, vulgo ὁμῶς.

Fr. 7. V. 1. fort. τῷ θυμῷ πολέων. — V. 4. πρὸς adieci.

Fr. 9. ἐλοῦσα scripsi, vulgo ἐλοῖσα.

Fr. 11. Φαμενὸς scripsi, vulgo φάμενος.

Fr. 12. Schol. Il. ξ'. 385. coll. φ'. 180.

Fr. 13. δύσατο scripsi, legebatur δάσατο.

Fr. 16. Etym. M. 30. not. ed. Gaisf.

Hermesianax. 2, 4. ἀκοήν, fort. δικρότην. — V. 7. ῥυομένη, fort. συρομένη. — V. 9. fort. ἐπ' ὀφρύσιν εἶδεν ἐσάντα. — V. 28. emendavit Cobet. — V. 29. λεπτὴν δ' ἧς (vel αἷς) Ἰθάκην ἐνετείνετο scripsi, legebatur λεπτὴν δ' εἰς Ἰθάκην ἀνετείνετο.

Timon. Fr. 1. Sext. Empir. adv. Matth. XI. 20. — Fr. 2. ibid. p. 545. ed. Bekker. Fort. leg. Βιοὺς ῥῆστα . . . μὴ πρόσεχ' ἰνδαλμοῖς ἡδυλόγου σοφίης. — Fr. 3. ib. XI. 140. — Fr. 4. ibid. — Fr. 5. ib. p. 670. ed. Bekker.

Alexander Aetolus. I. 4. malim κάλ' ἀνελισσομένης. — I. 13. fort. ἀέλεστα χαμεῖται πεῖσαι. — 1. 15. θαλείης, legebatur θαλάσσης. — 1. 33. ὀγκώσει, fort. οἱ χώσει. — 2, 5. ταχέων τ', legebatur ταχέων. — 3, 1. οὖς, vulgo ὡς. — fortasse Ἀγαθοκλεῖος servare debebam, sed accuratius alibi de talibus quaerendum. — 3, 5. fort. παιδομανεῖ σὺν ἔρωθ',

ὁπότ' ἦν ἴσον. — 5, 1. corruptus versus, possis φίλος ἀρχαίου, nisi potiu id ipsum corruptum est, bene se haberet τρόφιμος τοῦ Νοῦ, sed nimi recedit a librorum scriptura.

Aratus. Steph. Byz. v. Γάργαρα et Anth. Pal. XI. 437.

Archelaus. Fr. 1. Antigon. Caryst. c. 19. — Fr. 2. ibid. — Fr. 3. Varr de re Rust. III. 16. — Fr. 4. ibid. — Fr. 5. Antigon. Caryst. c. 89. — V. 5. fort. τεθνεῶτος. — V. 6. Κέκροπα τὸν διφυῆ scripsi, vulgo τὸ διφυῆ Κέκροπα.

Callimachus. Fr. 1. Eustath. Od. 1877, 64.

Fr. 2. Et. M. 612, 58. Herodian. π. μον. λέξ. 28, 6.

Fr. 3. Fronto p. 22. ed. Niebuhr.

Fr. 4. Cram. An. Ox. I. 280. (ubi ἡ δῶδε γόνου).

Fr. 6. Sententia, quemadmodum locum constitui, imperfecta est.

Fr. 8. Schol. Odyss. γ'. 380.

Fr. 11. ἐνιανθμοὶ correxi, legebatur ἐνήριθμοι.

Fr. 12. ἐξεκένωσεν scripsi, vulgo ἐξεκένωσαν.

Fr. 13. Bekker. An. III. 1198. (Cramer. An. Ox. I. 413), ubi ἴον pro νέον scripsi.

Fr. 17. Ὑψιζώρου, legebatur ὑψίζωνος.

Fr. 20. Εὐρώπῃ, fort. Εὐρώπῳ, ut fuerit fluvius cognominis Thessaliae fluvio, quem memorat Strabo VIII. 329. et IX. 441.

Fr. 21. περιδηνήεντ' scripsi, vulgo περιδινήεντ'.

Fr. 31. Heckerum secutus sum.

Fr. 33. Bekker An. III. 1185. (ubi Μαλόες).

Fr. 34. Cyrill. ad Iulian. VI. 191.

Fr. 35. Hephaest. p. 93.

Fr. 42. V. 1. Ἰλλυρικοῖο, Meineke Ἰλλυρίοιο. — V. 2. ὅφιος, Bentley τάφια.

Fr. 47. Auxi versibus additis in Schol. Eurip. Hecub. 476.

Fr. 50. Cram. An. Ox. I. 264.

Fr. 52. Et. M. 207, 18.

Fr. 54. Callim. ed. Ernesti T. I. p. 465.

Fr. 65. Fort. leg. ἐπὶ πτολέμοιο γεφυρῶν.

Fr. 66. Schol. Il. σ'. 399.

Fr. 69. γαίης, conieci γλώσσης.

Fr. 74. Schol. Pind. Pyth. V. 39.

Fr. 75. Bekk. An. III. 1346.

Fr. 76. ἄξιος errore exaratum pro ἔξοχος, conieci δεξιός.

Fr. 77. secutus sum codd. lectiones: locus longiorem requirit disputationem.

Fr. 78. Cram. An. Ox. III. 93.

Fr. 79. Herodian. π. μον. λέξ. 42, 27.

Fr. 82. V. 2. Ἰταλιδῶν, legebatur Ἰταλῶν.

Fr. 86. Secutus sum O. Schneiderum.

Fr. 87. V. 2. ἑρμένον, fort. ἡρμένον.

Fr. 94. [211.] corr. 94. [202.]. Ἰοκάστεω scripsi pro Ἰοκάστου. cf. Schol. Od. κ'. 6.

Fr. 99. Fort. leg. η με Κόνων ἔβλεψεν ἐν αἰθέρι.

Fr. 100. ἦγεν ἐπ' scripsi, vulgo ἢ ἀπ'.

Fr. 104. Et. M. 330, 20.

Fr. 107. Bekk. An. III. 1228. (ubi λέγοι μόνον).

Fr. 110. Hephaest. p. 93.

Fr. 126. Et. M. v. γειομόρος.

Fr. 127. Schol. Il. ω'. 254.

Fr. 128. Choerobosc. in Theodos. 15.

Fr. 135. ἤρυκεν scripsi, vulgo ἤρυγεν.

Fr. 139. O. Schneiderum sum secutus.

Fr. 141—157. Vide de his Meinek. ad Babrium p. 159. seqq. a quo discessi Fr. 147. verbis aliter dispositis; Fr. 148., ubi Dindorfium secutus sum; Fr. 153., ubi ἀλίβαντα i. e. οἱ ἀλίβαντα pro ἀλίβαντα correxi; Fr. 155, ubi post ἡμῖν interpunxi. Item 158. paulo aliter constitui.

Fr. 159. Interpunge κόρην, τὴν ὠγαμέμνων. Coniunxi hos versus secutus Naekium Hecal. 48.

Fr. 161. Constitui ex locis vario modo depravatis ap. Cram. An. Ox. IV. 399. Walz. Rhett. VIII. 764. Tryph. in Mus. Cantabr. II. 438.

Philostephanus. Tzetz. Chil. VII. 670. V. 1. λέλεκται scripsi, vulgo λέλειπται. — V. 2. καίπερ ἐοῦσ' G. Hermann, vulgo καὶ εἰ οὐκ. — V. 3. ἐχθρὸν δὴ νήκτῃσι scripsi, vulgo ἔχερον δίνης τῆσιν. — ὃ . . . τινάξαι, ῥηϊδίως scripsi, vulgo ὁ . . . τινάξας, ἢ δ' ἰδίως.

Eratosthenes. Vid. quae scripsi in Analectis Alexandrinis Part. I. II. Marburgi 1846.

Phanocles. De Phanocle vid. editionem Bachii. — I. V. 12. Θρηϊκίῃ, lebatur Θρηϊκίην. — V. 25. fort. ἅς δ' ἀλόχους ἔστιζον.

Nicander. Fr. 1. Aelian. de Nat. An. X. 49. — Fr. 2. ibid. XVI. 28. V. 1. Λίβυες. fort. Λιβύης.

Ptolemaeus. Vit. Arati p. 55. Westermann. V. 3. ἀπὰ σκοποῦ οὐδ' scripsi, libri ἀπὸ σκοποῦ. — V. 4. ἀλλ' ὅ γε λεπτόλογος scripsi, libri ἀλλὰ τότε λεπτολόγου.

Pancrates. Athen. XI, 478. A: Κογχορηΐς, fort. Βοκχορηΐς. V. 1. ἀργυφέοιο, fort. ἀργυρέοιο.

Agathyllus. Dionys. Halic. Antiq. I. 49.

Butas. Plut. vit. Rom. c. 21. ubi rectius scribas τύπτοντες, quod ipsum Aia apud Plut. quamquam ibi non recte exhibent.

Simylus. Fr. 1. et 2. Plut. vit. Rom. c. 17. — Fr. 3. Etym. M. 135, 30.

Parthenii 5. corruptum est, sed ad emendandum videtur adhibendus locus Eudociae 115: ἄλλοι δὲ ἱστοροῦσιν, ὡς ἡ Ἀφροδίτη ἐν τῷ καιρῷ τοῦ Τρωικοῦ πολέμου ἀνέπεισε τὴν Αἰγιάλειαν μιχθῆναι Κομήτῃ, ὑφ' ὧν καὶ ἐξωσθεὶς μετὰ τὸν νόστον ὁ Διομήδης εἰς Τελλίστους ἢ Τηλίστους Ἴβηρας ἦλθε πλανήτης, quae unde sumta sint nescio. — 7, 3. παρθενικὴ scripsi, legebatur παρθένος, ἤ. Sed non huc referendum est fr. 25., quod hexametris conscriptum sic videtur instaurandum:

Μάρτυρα δ' ἄμμιν
τὴν ἐπὶ Γαδείρα (σκυτάλην) λίπε, θεσμὸν (ἀέθλων),
στήλας τ' Αἰγαίωνος ἁλὸς Μεδέοντι γίγαντος,
ἀρχαίου Βριαρῆο ἀπ' οὔνομα τὸ πρὶν ἀράξας.

coll. Schol. Pind. Nem. III. 38: nam Aegaeon non diversus a Briareo; poeta autem intelligit tam columnas in Herculis templo cum titulo, in quo finxit Herculis labores numeratos fuisse, quam montes, qui vulgo *στῆλαι Ἡρακλέους* vocabantur, vid. Strab. III. 171. 172.

IAMBOGRAPHI.

Phoenix 1, 9. *φέροι*, vulgo *φέρει*. — I. 15. fort. *ἐγὼ δ' ὅπου πόδες φέρωσ', εὐψάλμοις*. — I. 7. fort. *τῶν λεῶ πλεῦνα*. — V. 21. *τοσοῦτον εἰδώς*, vulgo *εἰδὼς τοιαῦτα*. — 2, 3. et 4. corrupti, coniicio *κἄτ' ἄλλα πολλῷ πλεῦνα Κασπίης ψάμμου τάλαντ'· ὅς οὐκ εἶδ' ἀστέρ', οὐδ' ἐδίζητο*. — 2, 7. fort. *οὐ θυμιήτης*. — 2, 18. et 19. videntur ex uno versu depravati *ἔχω δ' ὁκόσσ' ἐδαισάμην τε κἠράσθην*. — 2, 22. fort. *ἐς Ἀΐδ'*. — 3, 1. fort. *Νίνῳ*. — 3, 2. *κόμη* corruptum. — 4, 3. corruptus, fort. *ὡς διζαστέρων*, i. e. *astronomorum*. Ceterum de Phoenicis reliquiis vid. Meinek. post Babrium.

Apollonius Rhod. Fr. 1. Stephan. Byz. v. *Κόρινθος*. — Fr. 2. ibid. v. *χώρα*.

Charinus. Ptolem. Hephaest. ap. Phot. Bibl. 191.

Parmeno. Fr. 1. Athen. V. 221. A. — Fr. 2. ibid. III. 75. F.

Hermias. Athen. XIII. 563. D.

In *Babrio* ubi codicis lectiones revocavi, nihil notabo: cetera, quae novavi, ita ut a Meinekii et Lachmanni editione recederem, significabo, cod. scriptura addita. Quod si nonnulla, quae coniectura correxi, ab aliis iam occupata sunt, fruantur illi inventi laude.

Prooem. V. 10. *πόντος ἰθὺ* [*Βράγχε*] scripsi, cod. *πόντιος ἰχθὺς Βράγχε*.

Fab. 3. V. 3. *δρυμός*, cod. *δρόμου*. — V. 8. *ποιητέ'*, cód. *ποιητόν*. — In Epimythio extrema cancellis sepsi.

Fab. 2. V. 2. *ἐπεζήτει*, et sic etiam Sauppiana ed., cod. *ἐζήτει*. — V. 3 *μήτις*, cod. *μὴ τῶν*.

Fab. 4. V. 8. *κινδύνων*, cod. *κίνδυνον*.

Fab. 5. V. 4. *ἔκρυπτ' ἐς*, cod. *ἐκρύπτετ'*. — V. 8. *ὁ δ' ἀδεῶς ἐπανέβαινε θηλείαις*, correxit Brenn, seminarii philologi Marburgensis olim sodalis cod. *ὁ δ' ἄλλος ἀμφίβαινε θηλείαις*.

Fab. 6. V. 2. *σῴζων*, cod. *ζῴων*. — V. 8. *ἀπέκυσεν* etiam Sauppe, cod. *ἔκυσε*.

Fab. 8. In Epimythio *διεστραμμένους* cancellis sepsi.

Fab. 9. V. 8. *τοιαῦτ'* Sauppe, cod. *τοσαῦτ'*. — V. 9. *ὕμας*, cod. *ὑμᾶς*. — V. 13. *τότε* Ahrens, cod. *τό*. — In Epim. *ματαίως* cancellis circumscripsi.

Fab. 10. V. 14. *πηρός*, videtur *πῆρος* ut *μῶρος* scribendum.

Fab. 11. V. 5. *λαβόντος*, fort. *βλαβόντος*, quod si recte memini etiam alius coniecit.

Fab. 12. V. 1. *μακρὸν*, cod. *μακρὰν*. — V. 4. *Ἴτυλον*, cod. *τὸν Ἴτυλον*. — V. 13. addidi cum Lachmanno et Meinekio ex C, sed illi minus

recte post v. 17. inseruerunt. — V. 15. ἔννυχος, conieci ἐν μυχοῖς. — V. 16. τήκει, conieci κήδει. — V. 17. cancellis sepsi. — V. 27. οἶσιν εὐθενῶν ὤφθη, cod. εὐσθενῶν ὀφθῇ.

Fab. 13. V. 7. ζῴων, malim πάντων.

Fab. 15. V. 12. λόγοις, fort. λόγων.

Fab. 18. V. 3. σίσυρναν, cod. σισύραν. — V. 6. μαλλὸν Boissonade, cod. μᾶλλον. — V. 7. et 8. transposui, legebantur inverso ordine.

Fab. 19. V. 2. ποικίλη πλήρεις Ἰδοῦσα κερδώ, correxit Ahrens cod. ποικίλη κερδὼ Ἰδοῦσα πλήρεις. — V. 6. et 7. cancellis sepsi.

Fab. 21. V. 5. πολλὰ δ' ἦν, cod. πολλὰ γὰρ ἦν.

Fab. 22. V. 3. μελαίναις, cod. μελαίνας. — V. 16. cancellis sepsi.

Fab. 25. V. 10. ἡμῶν ἀσθενεστέρους ἄλλους, cod. ἄλλους ἀσθενεστέρους ἡμῶν.

Fab. 26. V. 11. ἧμας, cod. ἡμᾶς.

Fab. 27. V. 2. συναγκείᾳ Knoche, v. συναγγίᾳ. — V. 4. ὃν, cod. ὧν — V. 7. inserui ex F, addito δ'. — V. 8. ἧμας, cod. ἡμᾶς.

Fab. 28. V. 10. πιότητα Coraes, cod. ποιότητα.

Fab. 29. V. 2. ἑσπέρην, fort. ἡμέρην.

Fab. 30. V. 6. corrupta sic videntur corrigenda: Συνθέμενος αὖθις εἰς τὸν ὄρθρον αὖ (vel εἰς τὸν ὄρθρον αὖθις αὖ) δεῖξαι ἐλθοῦσιν αὐτοῖς· ὁ δὲ λιθουργὸς [εἶδεν] ὑπνώσας κτλ.

Fab. 31. V. 12. lacunam indicavi. — V. 20. μυχῶν, fort. τρωγλῶν.

Fab. 33. V. 11. ἧμας, cod. ἡμᾶς. — V. 13. fort. ἐγὼ μὲν ἄρτον εὐθὺς αἰτήσω. — V. 25. restitui.

Fab. 35. V. 4. ἀγρίοις, fort. ἀγρίως.

Fab. 36. V. 2. et 3. ordinem versuum restitui.

Fab. 38. V. 2. ἐνεῖραν, cod. ἐνῇραν. — V. 9. πρὸς Boissonade, cod. ὑπ'.

Fab. 39. In fine lacunam indicavi.

Fab. 42. V. 8. ποίαν Boissonade, cod. ποῖ ἄν.

Fab. 43. V. 5. ἐπὶ τοῖς κέρασι δ', cod. ἐπὶ τοῖς δὲ κέρασι.

Fab. 45. V. 8. τὰς δ' αὐτ', cod. τὰς δὲ. — V. 13. τὰς κρείσσους, malim τὰ κρείσσω.

Fab. 46. V. 8. restitui sed cancellis sepsi.

Fab. 47. V. 1. ὑπεργήρως, cod. ὑπέργηρως. — V. 11 ὗμας, cod. ὑμᾶς.

Fab. 50. V. 16. et 17. cancellis circumscripsi. — V. 19. με σῴσας et ἀποκτείνας Ahrens, cod. μ' ἔσφσας et ἀπέκτεινας.

Fab. 51. V. 9. σὺ, cod. τε.

Fab. 52. V. 8. ὥςπερ αὐτὸς εἰ κάμνοι Duebner, cod. ὡςείπερ αὐτὸς κάμνων.

Fab. 54. V. 3. ταῦτ', cod. αὐτ'.

Fab. 56. V. 4. σιμὸν γυμνὸν, cod. γυμνόν, σιμόν.

Fab. 57. V. 4. ῥώπων, cod. ἀνθρώπων.

Fab. 58. V. 9. ἧμας, cod. ἡμᾶς.

Fab. 59. V. 3. ζῷον, fort. ζῴων. — V. 12. βλέποι τις, cod. βλέποιτο.

Fab. 61. V. 5. θηρῶν, cod. θήραν.

Fab. 63. V. 9. ἃ ξύνεστιν, cod. ἅτε σύνεστιν. — V. 12. cancellis circumscripsi.

Fab. 66. V. 6. πολλῷ Boissonade, πολὺ cod.
Fab. 67. V. 2. ἦν, cod. ἐν.
Fab. 69. V. 1. δασύποδ' ἐξαναστήσας, cod. δασύπουν ἀναστήσας.
Fab. 70. V. 7. μετέλθοι, cod. ἐπέλθοι.
Fab. 71. V. 18. πάντως, cod. πάντες.
Fab. 72. V. 20. σπίζων, cod. παίζων.
Fab. 73. V. 1. κλαγγήν, fort. κλάγγα.
Fab. 77. V. 2. ἰσχανῶσα, cod. ἰχανῶσα.
Fab. 79. V. 8. ἀναλοῦται, cod. ἀνήλωται.
Fab. 81. V. 1. et 3. transposui prima utriusque versus hemistichia.
Fab. 82. V. 3. fort. ἔκθορεν φωλῆς κοίλης. — V. 5. et 9. cancellis sepsi.
Fab. 85. V. 5. fort. προτάξῃ τὴν μάχην ἐνεδρείης.
Fab. 88. V. 2. τῷ χαραδριῷ τε, cod. ὃς τῷ χαραδραίῳ.
Fab. 90. V. 4. ἧμιν, cod. ἡμῖν.
Fab. 91. V. 4. ἐμβὰς Baiter, cod. ἐμβάντα.

Fab. 95. V. 12. προςέκυσε, cod. ἔσκυσε. — V. 61. Duebnerum secutus cancellis sepsi. — V. 66. ἐτρέφθη, cod. ἐτέρφθη.

Fab. 98. V. 7. ἧμιν, cod. ἡμῖν. — V. 18. ποικίλου τε, fort. ποικίλου δέ
Fab. 100. V. 3. ἐνέχυρά μοι, cod. ἐνέχυρον.
Fab. 101. Epimyth. ἐπιγινώσκοντας, cod. ἐπιγινώσκειν.
Fab. 103. V. 17. σώζοιο, cod. ζώοιο.

Fab. 106. V. 8. ἅλις, cod. ἀλίην. — V. 16. κερδοῖ, cod. κερδῷ. — V. 18. huc revocavi, vulgo post v. 19. legebatur.

Fab. 107. V. 7. ἀμυσχρῶν, cod. ἀμέσσων. — V. 10. καὶ δή, cod. καὶ. — V. 16. ἀντὶ ζωγρείας, cod. ἀντιζωγρήσας. — V. 17. εὖ νοοῦσιν, cod. εὐνοοῦσιν. Prooem. II. v. 6. Κιβύσσης, cod. Λιβύσσης.

Fab. 108. V. 16. coniicio πυθμέν' ἀλφίτων πλήρη.

Fab. 110. V. 4. fort. σὺ δ' αὖ μέλλεις. In Epimythio πρός et καί cancellis sepsi.

Fab. 111. V. 12. γόμους τήξας κούφως ἀνέστη γαῦρος scripsi, cod. ὅλους τήξας γαῦρος ἀνέστη κοῦφος. — V. 14. ἐπεὶ νοεῖ scripsi, cod. ἐπινοεῖ καί.

Fab. 113. V. 4. ἧμιν, cod. ἡμῖν.
Fab. 117. V. 10. εἶναι ὑμῶν, cod. ὑμῶν εἶναι.
Fab. 119. V 1. χερνήτης, cod. τεχνίτης. — V. 8. ἧμας, cod. ἡμᾶς.
Fab. 123. V. 6. ᾤμωξε, cod. ᾤμωζε.
Fab. 124. V. 19. οἶσθα χρησίμους ὥρας, legebatur οἶδας.
Fab. 125. V. 4. ἠλοία Hertzberg, legebatur ἤλεγγειν.

Fab. 127. Omissis iis fabulis, quae aegre vel plane non ad numeros iustos revocari possunt, quattuor recepi 127. 128. 129. 130. (apud Lachmannum 129. 130. 131. 137.), sed in his quoque restituendis saepius a Lachmanno fuit recedendum.

Fab. 136. V. 1. ἐγεννᾶτε, legebatur τίκτητε.

POETAE MELICI.

Simmias. 1. Anthol. Pal. XV. 22. ubi adespoton extat, sed Simmiae esse docet Hephaestio p. 54.

2. Anthol. Pal. XV. 24. item adespoton legitur, Simmiae vindicandum esse docet Heph. l. l. — V. 3. ἔκριν', fort. ἔκραιν' cum Salmasio legendum. — V. 10. item dubitari licet an ἔκρηνα potius quam ἔκρινα legendum sit. Ib. πραϋνόῳ δὲ πειθοῖ certa emendatione restitui, cod. πραΰνω δὲ πειθοῖ.

3. Anthol. Pal. XV. 27. ubi inscribitur Βησαντίνου ῥοδίου ὠιὸν χελιδόνος, sed in fine Βησαντίνου ῥοδίου ὠιὸν ἢ δοσιάδα ἢ Σιμμίου· ἀμφότεροι ῥόδιοι. Simmiae esse confirmat Hephaest. p. 114. et 124. — Initium carminis aperte corruptum, conieci aliquando:

Κωτίλας
(ποικίλον)
ματέρος
ἄτριον
τῇ τόδ' ὤϊον νέον
Δωρίας ἀηδόνος

(sive ᾠὸν et 'δόνος malis) ut ἁγνᾶς sit ex dithographia v. 7. ortum. Sed nimium haec recedunt a paradosi, nec tollitur illa difficultas, quod carmen ᾠὸν Χελιδόνος inscribitur, contra v. 6. ἀηδών memoratur. Itaque fort. scribendum:

τῇ τόδ' ὤϊον νέον·
ἄγνισεν Πανδιονίς.

quod cum ambiguum esset, hirundinem, alii lusciniam intellexerunt. Et in cod. ultima sic leguntur:

ἁγνᾶς ἀηδόνος· Πανδιωνίδας
δωρίας: νασιωτ.
ἄτριον: ῥόδου.

V. 9. ἔδειξε scripsi, cod. ἔδιξε. — V. 12. Κόσμον νέμοντα ῥυθμῶν quamvis dubitanter scripsi, vulgata certe nullo pacto ferenda est. — V. 13. Metrum possis exaequare si scripseris θοῶς δ' ὕπερθεν λέχρις φέρων deleto ὠκύ, sed incerta hic omnia. — V. 18. fort. βλαχαὶ δ' οἰῶν ἄτ' ἀβάτων ἀν' ὀρέων νομόν. — V. 20. ὄρουσ' i. e. ὤρουσεν emendavi, legebatur ὄρους. — V. 21. et 22. intactos reliqui.

4. Hephaest. ibid. 74. — 5. ibid. — 6. ibid. 15. — 7. ibid. 38. ἔταρε fort. Ἕκατε.

Dosiades. 1. Anthol. Pal. XV. 26. V. 7. ἀπάτωρ et V 8. ματρόριπτος scripsi. — V. 12. fort. praestat ἄϊξεν αἶν' ἴϋξας. — V. 15. conieci τὸν δ' αἰλινεῦντ', quod etiam Hecker suspicatus est. — V. 17. fort. Ἰλοραιστᾶν ἦρ' ἀρδίων.

2. Anthol. Pal. XV. 25. ubi ἀδέσποτον extat, sed probabiliter Dosiadae vindicant, ut dubitare possis an prius carmen (quod Tzetzes Theocrito tribuit) recte ad eundem poetam sit relatum. — V. 3. ὑποφοινίησι (nisi ὑπο, φοινίοισι malis) scripsi, vulgo ὑπὸ φοινίησι. — V. 7. μήτ' Ἀγούρου scripsi, cod. μή τε ταγχούρου. Cf. etiam Struve in Antiq. Annal. 1847. V. 10. λαβὼν τά, malim λαβοῦσα. — V. 22. σπονδὴν ἄδδην· ἴθι κτλ. scripsi et distinxi, vulgo σπονδήν· ἄδην ἴθι.

Philiscus. 1. Hephaest. 53. — 2. id. 54.

Melinno. Stob. Flor. VII. 13: *Μελιννοῦς Λεσβίας εἰς Ῥώμην*, sic A, sed Schow edidit: *Μελιννὼ ἢ μᾶλλον Ἠρίννη Λεσβία εἰς Ῥώμην.* Melinnus nomen verum esse testatur etiam Phot. Bibl. — V. 2. fort. leg. *χρυσόμιτρε καὶ δαΐφρων.* — V. 3. fort. scriptum fuit *ναίης.* — V. 5. *πρέσβιστα*, coniicio *πρεσβεῖα* vel *πρεσβῆα.* — V. 6. et 7. *βασίληον* et *κοιράνηον* scripsi, vulgo *βασιλῆον* et *κοιρανῆον.* — V. 9. malim *κρατερῷ λεπάδνῳ.* — V. 17. *κρατίστως*, vulgo *κρατίστους.*

Theocles. vid. Ath. XI. 497. C.

Seleucus. vid. Athen. XV. 697. D.

Euphorio Cherronesita. 1. et 2. vid. Hephaest. 103.

Heraclides. Athen. XIV. 649. C.

Dionysius. Carmen I. fortasse potius duo breviuscula sunt prooemia (v. 1—4. et 5—9.) quae aliis carminibus praemitti solebant.

Carmen II. fortasse *Mesomedis* est. — V. 15. *σοὶ*, aut hic *σὲ* scribendum est, aut V. 16. *κατ' Ὄλυμπον νύκτα χορεύει* pro *ἄνακτα.* — V. 20. *χρόνον*, fort. *χορὸν* cum Brunckio aliis. — V. 22. et 23. hic collocavi, vulgo leguntur post v. 14. — V. 24. *σοι* scripsi, legebatur *οἱ.*

Mesomedes. Carmen I. V. 1—5. hic collocavi, vulgo leguntur in fine totius carminis. — V. 3. *Δίκας* scripsi, legebatur *Δίκαν.* — V. 5. *Νεμέσεως* cancellis sepsi, quod aperte subditicium, poeta scripsisse videtur: *ἐφορᾷς κατὰ Τάρταρον εὐρύν.* — V. 17. *ὀφρὺν* cancellis sepsi, sed est fort. initium novi versus: *ὀφρὺν δὲ βροτῶν καταπαύεις.*

Carmen II. extat Anth. Plan. 323. — V. 7. *ἐκπυρούμενος*, malim *ἐκπυρουμένα.*

Carmen III. extat Anth. Pal. XIV. 63.

INDEX.

Poetae Elegiaci.

Iambographi.

Poetae Melici.

Scolia, Carmina Popularia, Fragmenta adespota.

POETAE ELEGIACI.

I.

CALLINUS.

1. [1.] *)

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμόν,
  ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπερικτίονας,
ὧδε λίην μεθιέντες, ἐν εἰρήνῃ δὲ δοκεῖτε
  ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.

* * *

  καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω.
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
  γῆς πέρι καὶ παίδων κουριδίης τ' ἀλόχου
δυςμενέσιν· θάνατος δὲ τότ' ἔσσεται, ὁππότε κεν δὴ
  Μοῖραι ἐπικλώσωσ', ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
  ἔλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.
οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
  ἄνδρ', οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων.
πολλάκι δηϊοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
  ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου·
ἀλλ' ὁ μὲν οὐκ ἔμπας δήμῳ φίλος οὐδὲ ποθεινός,
  τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ·
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρός
  θνήσκοντος· ζώων δ' ἄξιος ἡμιθέων·
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·
  ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

---

*) Numeri adiecti sunt editionis Bachianae.

II.

TYRTAEUS.

I. ΕΥΝΟΜΙΑ.

2. [1.] *)

Αὐτὸς γὰρ Κρονίων, καλλιστεφάνου πόσις Ἥρης,
Ζεὺς Ἡρακλείδαις τήνδε δέδωκε πόλιν·
οἷσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα
εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα.

* 3.

Ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν.
* * * * * *
ὧδε γὰρ ἀργυρότοξος ἄναξ ἑκάεργος Ἀπόλλων
χρυσοκόμης ἔχρη πίονος ἐξ ἀδύτου.

4. [2.]

Φοίβου ἀκούσαντες Πυθωνόθεν οἴκαδ' ἔνεικαν
μαντείας τε θεοῦ καὶ τελέεντ' ἔπεα·
ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
οἷσι μέλει Σπάρτης ἱμερόεσσα πόλις,
πρεσβυγενεῖς τε γέροντας· ἔπειτα δὲ δημότας ἄνδρας
εὐθείαις ῥήτραις ἀνταπαμειβομένους
μυθεῖσθαί τε τὰ καλὰ καὶ ἔρδειν πάντα δίκαια,
μηδέ τι βουλεύειν τῇδε πόλει ..,
δήμου τε πλήθει νίκην καὶ κάρτος ἕπεσθαι·
Φοῖβος γὰρ περὶ τῶν ὧδ' ἀνέφηνε πόλει.

5. [3. 4.]

Ἡμετέρῳ βασιλῆϊ, θεοῖσι φίλῳ Θεοπόμπῳ,
ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον,
Μεσσήνην ἀγαθὴν μὲν ἀροῦν, ἀγαθὴν δὲ φυτεύειν·
ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννεακαίδεκ' ἔτη
νωλεμέως αἰεί, ταλασίφρονα θυμὸν ἔχοντες,

---

*) Numeri adiecti sunt editionis Bachianae.

αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες·
εἰκοστῷ δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

6. [5.]

Ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι,
δεσποσύνοισι φέροντες ἀναγκαίης ὕπο λυγρῆς
ἥμισυ παντὸς ὅσον καρπὸν ἄρουρα φέρει.

7. [5.]

Δεσπότας οἰμώζοντες ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

(Υ Π Ο Θ Η Κ Α Ι.)

10. [6.]

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον.
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμία καὶ κακότης ἕπεται.
εἰ δ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη
γίγνεται, οὔτ' αἰδὼς οὔτ' ὄπις οὔτ' ἔλεος,
θυμῷ γῆς περὶ τῆςδε μαχώμεθα καὶ περὶ παίδων
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι.
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς·
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,

πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
  καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος,
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
  ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις·
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι
  καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω.
οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ' αὐτοῦ,
  ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
ὅντιν' ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
  γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
  νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
  πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην·
γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
  βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει,
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν
  εἴκουσ' ἐκ χώρης οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
  πειράσθω θυμῷ, μὴ μεθιεὶς πολέμου.

ΕΜΒΑΤΗΡΙΑ.

15. [11.]

Ἄγετ', ὦ Σπάρτας εὐάνδρου
κοῦροι πατέρων πολιητᾶν,
λαιᾷ μὲν ἴτυν προβάλεσθε,
δόρυ δ' εὐτόλμως [βάλλετε]
μὴ φειδόμενοι τᾶς ζωᾶς·
οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ.

* 16. [12.]

Ἄγετ', ὦ Σπάρτας ἔνοπλοι κοῦροι, ποτὶ τὰν Ἄρεος κίνασιν.

III.

ASIUS.

Χωλός, στιγματίης, πολυγήραος, ἶσος ἀλήτῃ
ἦλθεν κνισοκόλαξ, εὖτε Μέλης ἐγάμει,
ἄκλητος, ζωμοῦ κεχρημένος, ἐν δὲ μέσοισιν
ἥρως εἱστήκει βορβόρου ἐξαναδύς.

IV.

PISANDER.

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν, ἵππῳ δὲ Πόδαργος,
καὶ κυνὶ Λήθαργος, καὶ θεράποντι Βάβης.
Θεσσαλός, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός.
ὤλετο δ' ἐν προμάχοις ὀξὺν Ἄρη συνάγων.

V.

MIMNERMUS.

ΝΑΝΝΩ.

1. [1.] *)

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς Ἀφροδίτης;
τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή·
εἰ ἥβης ἄνθεα γίγνεται ἁρπαλέα
ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ
γῆρας, ὅ τ' αἰσχρὸν ὁμῶς καὶ καλὸν ἄνδρα τιθεῖ,
αἰεί μιν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι,
οὐδ' αὐγὰς προσορῶν τέρπεται ἠελίου,

---

*) Numeri adiecti sunt editionis Bachianae.

6. [6.]

Αἲ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδώνων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου.

7. [7.]

Τὴν σαυτοῦ φρένα τέρπε· δυςηλεγέων δὲ πολιτῶν
ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

8. [8.]

Ἀληθείη δὲ παρέστω
σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον.

9. [12.]

Ημεῖς δ' αἰπὺ Πύλου Νηλήϊον ἄστυ λιπόντες
ἱμερτὴν Ἀσίην νηυσὶν ἀφικόμεθα.
ἐς δ' ἐρατὴν Κολοφῶνα βίην ὑπέροπλον ἔχοντες
ἑζόμεθ' ἀργαλέης ὕβριος ἡγεμόνες·
κεῖθεν δ' ἀστύεντος ἀπορνύμενοι ποταμοῖο
θεῶν βουλῇ Σμύρνην εἵλομεν Αἰολίδα.

11 [10.]

Οὐδέ κοτ' ἂν μέγα κῶας ἀνήγαγεν αυτὸς Ιησων
ἐξ Αἴης, τελέσας ἀλγινόεσσαν ὁδόν,
ὑβριστῇ Πελίῃ τελέων χαλεπῆρες ἄεθλον,
οὐδ' ἂν ἐπ' Ὠκεανοῦ καλὸν ἵκοντο ῥόον,
* * *
Αἰήταο πόλιν, τόθι τ' ὠκέος Ἠελίοιο
ἀκτῖνες χρυσέῳ κείαται ἐν θαλάμῳ
Ὠκεανοῦ παρὰ χεῖλος, ἵν' ᾤχετο θεῖος Ἰήσων.

12. [9.]

Ηέλιος μὲν γὰρ ἔλαχεν πόνον ἤματα πάντα,
οὐδέ ποτ' ἄμπαυσις γίγνεται οὐδεμία
ἵπποισίν τε καὶ αὐτῷ, ἐπεὶ ῥοδοδάκτυλος Ἠώς
Ὠκεανὸν προλιποῦσ' οὐρανὸν εἰςαναβῇ·
τὸν μὲν γὰρ διὰ κῦμα φέρει πολυήρατος εὐνή
κοΐλη, Ἡφαίστου χερσὶν ἐληλαμένη
χρυσοῦ τιμήεντος, ὑπόπτερος, ἄκρον ἐφ' ὕδωρ
εὕδονθ' ἁρπαλέως χώρου ἀφ' Ἑσπερίδων

II.

TYRTAEUS.

I. *ΕΥΝΟΜΙΑ.*

2. [1.] *)

Αὐτὸς γὰρ Κρονίων, καλλιστεφάνου πόσις Ἥρης,
Ζεὺς Ἡρακλείδαις τήνδε δέδωκε πόλιν·
οἷσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα
εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα.

* 3.

Ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν.

* * * * * *

ὧδε γὰρ ἀργυρότοξος ἄναξ ἑκάεργος Ἀπόλλων
χρυσοκόμης ἔχρη πίονος ἐξ ἀδύτου.

4. [2.]

Φοίβου ἀκούσαντες Πυθωνόθεν οἴκαδ' ἔνεικαν
μαντείας τε θεοῦ καὶ τελέεντ' ἔπεα·
ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
οἷσι μέλει Σπάρτης ἱμερόεσσα πόλις,
πρεσβυγενεῖς τε γέροντας· ἔπειτα δὲ δημότας ἄνδρας,
εὐθείαις ῥήτραις ἀνταπαμειβομένους
μυθεῖσθαί τε τὰ καλὰ καὶ ἔρδειν πάντα δίκαια,
μηδέ τι βουλεύειν τῇδε πόλει ..,
δήμου τε πλήθει νίκην καὶ κάρτος ἕπεσθαι·
Φοῖβος γὰρ περὶ τῶν ὧδ' ἀνέφηνε πόλει.

5. [3. 4.]

Ἡμετέρῳ βασιλῆϊ, θεοῖσι φίλῳ Θεοπόμπῳ,
ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον,
Μεσσήνην ἀγαθὴν μὲν ἀροῦν, ἀγαθὴν δὲ φυτεύειν·
ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννεακαίδεκ' ἔτη
νωλεμέως αἰεί, ταλασίφρονα θυμὸν ἔχοντες,

---

*) Numeri adiecti sunt editionis Bachianae.

αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες·
εἰκοστῷ δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

6. [5.]

Ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι,
δεσποσύνοισι φέροντες ἀναγκαίης ὕπο λυγρῆς
ἥμισυ παντὸς ὅσον καρπὸν ἄρουρα φέρει.

7. [5.]

Δεσπότας οἰμώζοντες ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

(Υ Π Ο Θ Η Κ Α Ι.)

10. [6.]

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον.
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγρούς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμία καὶ κακότης ἕπεται.
εἰ δ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη
γίγνεται, οὔτ' αἰδὼς οὔτ' ὄπις οὔτ' ἔλεος,
θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα καὶ περὶ παίδων
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι.
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς·
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,

πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
  καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος,
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
  ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις·
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι
  καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω.
οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ' αὐτοῦ,
  ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
ὅντιν' ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
  γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
  νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
  πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην·
γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτόν
  βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει,
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτόν
  εἴκουσ' ἐκ χώρης οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
  πειράσθω θυμῷ, μὴ μεθιεὶς πολέμου.

ΕΜΒΑΤΗΡΙΑ.

15. [11.]

Ἄγετ', ὦ Σπάρτας εὐάνδρου
κοῦροι πατέρων πολιηταν,
λαιᾷ μὲν ἴτυν προβάλεσθε,
δόρυ δ' εὐτόλμως [βάλλετε]
μὴ φειδόμενοι τᾶς ζωᾶς·
οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ.

* 16. [12.]

Ἄγετ', ὦ Σπάρτας ἔνοπλοι κοῦροι, ποτὶ τὰν Ἄρεος κίνασιν

III.

ASIUS.

Χωλός, στιγματίης, πολυγήραος, ἶσος ἀλήτῃ
  ἦλθεν κνισοκόλαξ, εὖτε Μέλης ἐγάμει,
ἄκλητος, ζωμοῦ κεχρημένος, ἐν δὲ μέσοισιν
  ἥρως εἱστήκει βορβόρου ἐξαναδύς.

IV.

PISANDER.

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν, ἵππῳ δὲ Πόδαργος,
  καὶ κυνὶ Λήθαργος, καὶ θεράποντι Βάβης·
Θεσσαλός, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός.
  ὤλετο δ' ἐν προμάχοις ὀξὺν Ἄρη συνάγων.

V.

MIMNERMUS.

ΝΑΝΝΩ.

1. [1.] *)

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς Ἀφροδίτης;
  τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή·
  εἰ ἥβης ἄνθεα γίγνεται ἁρπαλέα
ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ
  γῆρας, ὅ τ' αἰσχρὸν ὁμῶς καὶ καλὸν ἄνδρα τιθεῖ,
αἰεί μιν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι,
  οὐδ' αὐγὰς προσορῶν τέρπεται ἠελίου,

---

*) Numeri adiecti sunt editionis Bachianae.

[ταῦτ' ἄφενος θνητοῖσι· τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀΐδεω·
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας
νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.]

25. [1.]

Ἔσθ' ἥβης ἐρατοῖσιν ἐπ' ἄνθεσι παιδοφιλήσῃ
μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

26. [11.]

Ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
καὶ Μουσέων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

27. [3.]

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων
φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ' ἔτεσιν·
τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
ἥβης ἐκφαίνει σήματα γεινομένης·
τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἔτι γυίων
λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης·
τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδι μέγ' ἄριστος
ἰσχύν, ἥντ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς·
πέμπτῃ δ' ὥριον, ἄνδρα γάμου μεμνημένον εἶναι
καὶ παίδων ζητεῖν εἰςοπίσω γενεήν·
τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός,
οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμνα θέλει·
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μέγ' ἄριστος
ὀκτώ τ'· ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη·
τῇ δ' ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ' αὐτοῦ
πρὸς μεγάλην ἀρετὴν γλῶσσά τε καὶ σοφίη·
τῇ δεκάτῃ δ' ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

ΕΠΗ.

31. [23.]

Πρῶτα μὲν εὐχώμεσθα Διῒ Κρονίδῃ βασιλῆϊ,
θεσμοῖς τοῖςδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι.

II.

TYRTAEUS.

I. *ΕΥΝΟΜΙΑ.*

2. [1.] *)

Αὐτὸς γὰρ Κρονίων, καλλιστεφάνου πόσις Ἥρης,
Ζεὺς Ἡρακλείδαις τήνδε δέδωκε πόλιν·
οἷσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα
εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα.

* 3.

Ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν.
* * * * * *
ὧδε γὰρ ἀργυρότοξος ἄναξ ἑκάεργος Ἀπόλλων
χρυσοκόμης ἔχρη πίονος ἐξ ἀδύτου.

4. [2.]

Φοίβου ἀκούσαντες Πυθωνόθεν οἴκαδ' ἔνεικαν
μαντείας τε θεοῦ καὶ τελέεντ' ἔπεα·
ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
οἷσι μέλει Σπάρτης ἱμερόεσσα πόλις,
πρεσβυγενεῖς τε γέροντας· ἔπειτα δὲ δημότας ἄνδρας,
εὐθείαις ῥήτραις ἀνταπαμειβομένους
μυθεῖσθαί τε τὰ καλὰ καὶ ἔρδειν πάντα δίκαια,
μηδέ τι βουλεύειν τῇδε πόλει ...,
δήμου τε πλήθει νίκην καὶ κάρτος ἕπεσθαι·
Φοῖβος γὰρ περὶ τῶν ὧδ' ἀνέφηνε πόλει.

5. [3. 4.]

Ἡμετέρῳ βασιλῆϊ, θεοῖσι φίλῳ Θεοπόμπῳ,
ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον,
Μεσσήνην ἀγαθὴν μὲν ἀροῦν, ἀγαθὴν δὲ φυτεύειν·
ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννεακαίδεκ' ἔτη
νωλεμέως αἰεί, ταλασίφρονα θυμὸν ἔχοντες,

---

*) Numeri adiecti sunt editionis Bachianae.

αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες·
εἰκοστῷ δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

6. [5.]

Ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι,
δεσποσύνοισι φέροντες ἀναγκαίης ὕπο λυγρῆς
ἥμισυ παντὸς ὅσον καρπὸν ἄρουρα φέρει.

7. [5.]

Δεσπότας οἰμώζοντες ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

(Υ Π Ο Θ Η Κ Α Ι.)

10. [6.]

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον.
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμία καὶ κακότης ἕπεται.
εἰ δ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη
γίγνεται, οὔτ' αἰδὼς οὔτ' ὄπις οὔτ' ἔλεος,
θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα καὶ περὶ παίδων
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι.
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς·
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,

ΜΕΛΗ.

41. [27.]

◡ ◡ ⏑́ ◡ ◡ – ◡ ◡ ⏑́ ◡ ◡ –
– ⏑́ ◡ ⏑́ ◡ ◡ – ◡ ◡ – – ⏑́ ◡ – ◡ ⏑́ ◡ – –
⏑́ ◡ ◡ – ◡ ◡ – ◡ ⏑́ ◡ – ⏑́ ◡ – ◡ – –

Πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα,
μὴ κρυπτὸν ἔγχος ἔχων κραδίῃ φαιδρῷ προςεννέπῃ προςώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος ἐκ μελαίνης φρενὸς γεγωνῇ.

VII.

CLEOBULINA.

1.

Ἄνδρ᾽ εἶδον πυρὶ χαλκὸν ἐπ᾽ ἀνέρι κολλήσαντα
οὕτω συγκόλλως ὥστε σύναιμα ποιεῖν.

2.

Ἄνδρ᾽ εἶδον κλέπτοντα καὶ ἐξαπατῶντα βιαίως.
καὶ τὸ βίᾳ ῥέξαι τοῦτο δικαιότατον.

VIII.

AESOPUS.

Πῶς τις ἄνευ θανάτου σε φύγοι, βίε; μυρία γάρ σευ
λυγρά· καὶ οὔτε φυγεῖν εὐμαρές, οὔτε φέρειν·
ἡδέα μὲν γάρ σου τὰ φύσει καλά, γαῖα, θάλασσα,
ἄστρα, σεληναίης κύκλα καὶ ἠελίου·
τἄλλα δὲ πάντα φόβοι τε καὶ ἄλγεα· κἤν τι πάθῃ τις
ἐσθλόν, ἀμοιβαίην ἐκδέχεται Νέμεσιν.

IX.

DEMODOCUS.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

1.

Καὶ τόδε Δημοδόκου· Χῖοι κακοί· οὐχ ὁ μὲν, ὃς δ' οὔ,
πάντες, πλὴν Προκλέους· καὶ Προκλέης δὲ Χίος.

2.

Πάντες μὲν Κίλικες κακοὶ ἀνέρες· ἐν δὲ Κίλιξιν
εἷς ἀγαθὸς Κινύρης, καὶ Κινύρης δὲ Κίλιξ.

3.

Καππαδόκην ποτ' ἔχιδνα κακὴ δάκεν· ἀλλὰ καὶ αὐτὴ
κάτθανε, γευσαμένη αἵματος ἰοβόλου.

4.

Καππαδόκαι φαῦλοι μὲν ἀεί· ζώνης δὲ τυχόντες
φαυλότεροι· κέρδους δ' εἵνεκα φαυλότατοι·
ἢν δ' ἄρα δὶς καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
δὴ τότε γίγνονται φαυλεπιφαυλότατοι.
μὴ λίτομαι, βασιλεῦ, μὴ τετράκις, ὄφρα μὴ αὐτὸς
κόσμος ὀλισθήσῃ καππαδοκιζόμενος.

5.

(Καὶ τόδε Δημοδόκου·) Μιλήσιοι ἀξύνετοι μὲν
οὐκ εἰσί, δρῶσιν δ' οἷά περ ἀξύνετοι.

ΙΑΜΒΟΙ.

6.

Ἢν τύχῃς κρίνων, δικάζευ τὴν Πριηνίην δίκην.

X.

PHOCYLIDES.

ΕΛΕΓΕΙΑ.

1.

Καὶ τόδε Φωκυλίδεω· Λέριοι κακοί· οὐχ ὁ μὲν, ὃς δ' οὔ·
Πάντες, πλὴν Προκλέους· καὶ Προκλέης Λέριος.

2.

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα,
τοὺς δὲ κακοὺς δι' ὅλου πάντας ἀποστρέφομαι.
[Οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ' ἄρα τιμῶ,
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.]

ΕΠΗ.

3.

Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδε γένοντο
φῦλα γυναικείων· ἡ μὲν κυνός, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης·
εὔφορος ἥδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη·
ἡ δὲ συὸς βλοσυρῆς, οὔτ' ἂρ κακὴ οὐδὲ μὲν ἐσθλή·
ἡ δὲ κυνός, χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης
οἰκονόμος τ' ἀγαθὴ καὶ ἐπίσταται ἐργάζεσθαι·
ἧς εὔχου, φίλ' ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος.

4.

Καὶ τόδε Φωκυλίδου· τί πλέον γένος εὐγενὲς εἶναι,
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις οὔτ' ἐνὶ βουλῇ;

5.

Καὶ τόδε Φωκυλίδου· πόλις ἐν σκοπέλῳ κατὰ κόσμον
οἰκεῦσα σμικρὴ κρέσσων Νίνου ἀφραινούσης.

6.

Καὶ τόδε Φωκυλίδεω· χρή τοι τὸν ἑταῖρον ἑταίρῳ
φροντίζειν ἅσσ' ἂν περιγογγύζωσι πολῖται.

7.

Χρηΐζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ·
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.

8.

Νυκτὸς βουλεύειν, νυκτὸς δέ τοι ὀξυτέρη φρήν
ἀνδράσιν· ἡσυχίη δ' ἀρετὴν διζημένῳ ἐσθλή.

9.

Πολλοί τοι δοκέουσι σαόφρονες ἔμμεναι ἄνδρες,
σὺν κόσμῳ στείχοντες, ἐλαφρόνοοί περ ἐόντες.

10.

Δίζησθαι βιοτήν, ἀρετὴν δ' ὅταν ᾖ βίος ἀσκεῖν.

11.

Χρὴ δ' ἐν συμποσίῳ κυλίκων περινισομενάων
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

12.

Πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι.

13.

. . . . Χρὴ παῖδ' ἔτ' ἐόντα
καλὰ διδάσκειν ἔργα . . . .

14.

Πόλλ' ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν.

15.

Ἀλλ' ἄρα δαίμονές εἰσιν ἐπ' ἀνδράσιν ἄλλοτε ἄλλοι,
οἱ μὲν ἐπερχομένου κακοῦ ἀνέρας ἐκλύσασθαι.

16.

Χρήστης κακοῦ ἔμμεναι ἀνδρός
φεύγειν, μή σέ γ' ἀνιήσῃ [διδοὺς] παρὰ καιρὸν ἀπαιτέων.

17.

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν.

XI.

PSEUDOPHOCYLIDEA.

ΦΩΚΥΛΙΔΟΥ ΓΝΩΜΑΙ.

Ταῦτα δίκης ὁσίῃσι θεοῦ βουλεύματα φαίνει
Φωκυλίδης ἀνδρῶν ὁ σοφώτατος ὄλβια δῶρα.
Μήτε γαμοκλοπέειν, μήτ' ἄρσενα Κύπριν ὀρίνειν,
μήτε δόλους ῥάπτειν, μήθ' αἵματι χεῖρα μιαίνειν.
μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιοτεύειν.
ἀρκεῖσθαι παρεοῦσι καὶ ἀλλοτρίων ἀπέχεσθαι.
ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.
Πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας.
πάντα δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκε.
μὴ ῥίψῃς πενίην ἀδίκως· μὴ κρῖνε πρόσωπον.
ἢν σὺ κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσσει.
μαρτυρίην ψευδῆ φεύγειν, τὰ δίκαια βραβεύειν.
παρθενίην τηρεῖν, πίστιν δ' ἐπὶ πᾶσι φυλάσσειν.
μέτρα νέμειν τὰ δίκαια, καλὸν δέ τι μέτρον ἁπάντων.
σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ' ἴσον ἕλκειν.
μηδ' ἐπιορκήσῃς μήτ' ἀγνὼς μήτε ἑκοντί.
ψεύδορκον στυγέει θεὸς ἄμβροτος ὅστις ὀμόσσῃ.
σπέρματα μὴ κλέπτειν· ἐπαράσιμος ὅστις ἕληται.
μισθὸν μοχθήσαντι δίδου· μὴ θλῖβε πένητα.
γλώσσῃ νοῦν ἐχέμεν· κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
μήτ' ἀδικεῖν ἐθέλοις, μήτ' οὖν ἀδικοῦντας ἐάσῃς.
πτωχῷ δ' εὐθὺ δίδου, μηδ' αὔριον ἐλθέμεν εἴπῃς.

πληρώσας σέο χεῖρ' ἔλεον χρήζοντι παράσχου.
ἄστεγον εἰς οἶκον δέξαι καὶ τυφλὸν ὁδήγει.
ναυηγοὺς οἴκτειρον, ἐπεὶ πλόος ἐστὶν ἄδηλος.
χεῖρα πεσόντι δίδου· σῶσον δ' ἀπερίστατον ἄνδρα.
κοινὰ πάθη πάντων· ὁ βίος τροχός· ἄστατος ὄλβος·
πλοῦτον ἔχων σὴν χεῖρα πενητεύουσιν ὄρεξον·
ὧν τοι ἔδωκε θεός, τούτων χρήζουσι παράσχου.
ἔστω κοινὸς ἅπας ὁ βίος καὶ ὁμόφρονα πάντα.
Τὸ ξίφος ἀμφιβαλοῦ μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν·
[αἷμα δὲ μὴ φαγέειν, εἰδωλοθύτων ἀπέχεσθαι.]
εἴθε δὲ μὴ χρήζοις μήτ' ἔκνομα μήτε δικαίως.
ἢν γὰρ ἀποκτείνῃς ἐχθρόν, σέο χεῖρα μιαίνεις.
Ἀγροῦ γειτονέοντος ἀπόσχεο, μηδ' ἄρ' ὑπερβῇς.
πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλεγειναί.
χρηστὸς ὀνήσιμός ἐστι, φίλος δ' ἀδικῶν ἀνόνητος.
μηδέ τιν' αὐξόμενον καρπὸν λωβήσῃ ἀρούρης.
Ἔστωσαν δ' ὁμότιμοι ἐπήλυδες ἐν πολιήταις·
πάντες γὰρ πενίης πειρώμεθα τῆς πολυπλάγκτου·
χώρη δ' οὔ τι βέβαιον ἔχει πέδον ἀνθρώποισιν.
Ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
χρυσὸς ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισιν.
χρυσέ, κακῶν ἀρχηγέ, βιοφθόρε, πάντα χαλέπτων,
εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν.
σεῦ γὰρ ἔκητι μάχαι τε, λεηλασίαι τε, φόνοι τε,
ἐχθρὰ δὲ τέκνα γονεῦσιν, ἀδελφειοί τε συναίμοις.
Μηδ' ἕτερον κεύθοις κραδίῃ νόον, ἄλλ' ἀγορεύων·
μηδ', ὡς πετροφυὴς πολύπους, κατὰ χῶρον ἀμείβου.
πᾶσιν δ' ἁπλόος ἴσθι, τὰ δ' ἐκ ψυχῆς ἀγόρευε.
Ὅστις ἑκὼν ἀδικεῖ, κακὸς ἀνήρ· εἰ δ' ὑπ' ἀνάγκης,
οὐκ ἐρέω τὸ τέλος· βουλὴ δ' εὐθύνεθ' ἑκάστου.
Μὴ γαυροῦ σοφίῃ, μήτ' ἀλκῇ, μήτ' ἐπὶ πλούτῳ.
εἷς θεός ἐστι σοφός, δυνατός θ' ἅμα καὶ πολύολβος.
Μηδὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦπαρ·
οὐκ ἔτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
Μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ' ἄγριον ἄρην.
πολλάκι γὰρ πλήξας ἀέκων φόνον ἐξετέλεσσεν.
Ἔστω κοινὰ πάθη· μηδὲν μέγα μηδ' ὑπέροπλον.
οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ·

ἡ πολλὴ δὲ τρυφὴ πρὸς ἀσέμνους ἕλκετ' ἔρωτας·
ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος καὶ ἐς ὕβριν ἀέξει.
Θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τίκτει.
ὀργὴ δ' ἐστὶν ὄρεξις, ὑπερβαίνουσα δὲ μῆνις.
Ζῆλος τῶν ἐσθλῶν ἀγαθός, φαύλων δ' ἀΐδηλος.
τόλμα κακῶν ὀλοή· μέγα δ' ὠφελεῖ ἐσθλὰ πονεῦντα.
σεμνὸς ἔρως ἀρετῆς· ὁ δὲ Κύπριδος αἶσχος ὀφέλλει.
ἡδὺς ἄγαν ἄφρων κικλήσκεται ἐν πολιήταις.
μέτρῳ ἔδειν, μέτρῳ δὲ πιεῖν καὶ μυθολογεύειν.
Μὴ φθονέοις ἀγαθῶν ἑτάροις, μὴ μῶμον ἀνάψῃς·
ἄφθονοι Οὐρανίδαι καὶ ἐν ἀλλήλοις τελέθουσιν.
οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἡλίου αὐγαῖς·
οὐ χθὼν οὐρανίοις ὑψώμασι νέρθεν ἐοῦσα·
οὐ ποταμοὶ πελάγεσσιν· ἀεὶ δ' ὁμόνοιαν ἔχουσιν.
εἰ γὰρ ἔρις μακάρεσσιν ἔην, οὐκ ἂν πόλος ἔστη.
Σωφροσύνην ἀσκεῖν, αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι.
μὴ μιμοῦ κακότητα, Δίκῃ δ' ἀπόλειψον ἄμυναν.
πειθὼ μὲν γὰρ ὄνειαρ, ἔρις δ' ἔριν ἀντιφυτεύει.
μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.
νικᾶν εὖ ἔρδοντας ἐπὶ πλεόνεσσι καθήκει.
Καλὸν ξεινίζειν ταχέως λιταῖσι τραπέζαις,
ἢ πλείσταις θαλίαισι βραδυνούσαις παρὰ καιρόν.
Μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι.
μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἑλέσθω·
μητέρα δ' ἐκπρολίποις, ἵν' ἔχῃς αὖ τῆσδε νεοσσούς.
Μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς·
μηδὲ δίκην δικάσῃς, πρὶν ἄμφω μῦθον ἀκούσῃς.
τὴν σοφίην σοφὸς ἰθύνει, τέχνας δ' ὁμότεχνος.
οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκουή·
οὐ γὰρ δὴ νοέουσ' οἱ μηδέποτ' ἐσθλὰ μαθόντες.
Μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους.
πολλοὶ γὰρ πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
καιρὸν θωπεύοντες, ἐπὴν κορέσασθαι ἔχωσιν·
ἀχθόμενοι δ' ὀλίγοις καὶ πολλοῖς πάντες ἄπληστοι.
Λαῷ μὴ πίστευε· πολύτροπός ἐστιν ὅμιλος.
λαός τοι, καὶ ὕδωρ, καὶ πῦρ ἀκατάσχετα πάντα.
Μηδὲ μάτην ἐπὶ πῦρ καθίσας μινύθοις φίλον ἦτορ.
μέτρα δὲ τεῦχε θεοῖσι· τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.

Γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχύτοις νεκύεσσιν.
μὴ τύμβον φθιμένων ἀνορύξῃς, μηδ' ἀθέατα
δείξῃς ἠελίῳ, καὶ δαιμόνιον χόλον ὄρσῃς·
οὐ καλὸν ἁρμονίην ἀναλύεμεν ἀνθρώποιο.
καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν
λείψαν' ἀποιχομένων· ὀπίσω δὲ θεοὶ τελέθονται.
ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισιν.
πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών·
σῶμα γὰρ ἐκ γαίης ἔχομεν, κἄπειτα πρὸς αὖ γῆν
λυόμενοι κόνις ἐσμέν· ἀὴρ δ' ἀνὰ πνεῦμα δέδεκται.
Πλούτου μὴ φείδου· μέμνησ' ὅτι θνητὸς ὑπάρχεις.
οὐκ ἔστ' εἰς Ἅιδην ὄλβον καὶ χρήματ' ἄγεσθαι.
κοινὰ μέλαθρα δόμων αἰώνια, καὶ πατρὶς Ἅιδης·
πάντες ἴσον νέκυες· ψυχῶν δὲ θεὸς βασιλεύει.
ξυνὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν.
οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπὶ καιρόν·
ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ζῇ διὰ παντός.
οὐδεὶς γινώσκει, τί μεταύριον ἢ τί μεθ' ὥραν.
ἄσκοπός ἐστι βροτῶν θάνατος, τὸ δὲ μέλλον ἄδηλον.
Μήτε κακοῖς ἄχθου, μήτ' οὖν ἐπαγάλλεο χάρμῃ.
πολλάκις ἐν βιότῳ καὶ θαρσαλέοισιν ἄπιστον
πῆμα, καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθεν αἴφνης.
καιρῷ λατρεύειν, μηδ' ἀντιπνέειν ἀνέμοισιν.
Μὴ μεγαληγορίῃ φυσῶν φρένα λυσσωθείης·
εὐεπίην ἀσκεῖν, ἥ τις μάλα πάντας ὀνήσει.
ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου.
ὅπλον ἑκάστῳ νεῖμε θεός· φύσιν ἠερόφοιτον
ὄρνισιν, πώλοις ταχυτῆτ', ἀλκὴν δὲ λέουσιν·
ταύροις δ' αὐτοχύτοις κεράεσσιν· κέντρα μελίσσαις,
ἔμφυτον ἄλκαρ, ἔδωκε, λόγον δ' ἔρυμ' ἀνθρώποισιν
τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος·
βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
ἀγροὺς καὶ πόλιας σοφίη καὶ νῆα κυβερνᾷ.
Οὐχ ὅσιον κρύπτειν τὸν ἀτάσθαλον ἄνδρ' ἀνέλεγκτον·
ἀλλὰ χρὴ κακοεργὸν ἀποτροπάασθαι ἀνάγκῃ.
πολλάκι συνθνήσκουσι κακοῖς οἱ συμπαρεόντες.
Φωρῶν μὴ δέξῃ κλοπίμην ἀδίκων παραθήκην·
ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος καὶ ὁ κλέψας.

Μοῖραν πᾶσι νέμειν· ἰσότης δ' ἐν πᾶσιν ἄριστον.
'Αρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδεύῃ.
μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἕληαι.
Κτῆνος κἢν ἐχθροῖο πέσῃ καθ' ὁδόν, συνέγειρε.
πλαζόμενον δὲ βροτὸν καὶ ἀλήμονα μήποτ' ἐλέγξῃς·
βέλτερον ἀντ' ἐχθροῖο τυχεῖν φίλον εὐμενέοντος.
'Αρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ' ἀκέσασθαι.
ἐξ ὀλίγου σπινθῆρος ἀθέσφατος αἴθεται ὕλη·
'Εγκρατὲς ἦτορ ἔχειν, τῶν λωβητῶν δ' ἀπέχεσθαι.
φεῦγε κακὴν φήμην, φεῦγ' ἀνθρώπους ἀθεμίστους.
μηδέ τι θηρόβορον δαίσῃ κρέας· ἀργίποσιν δέ
λείψανα λεῖπε κυσίν· θῆρες δ' ἀπὸ θηρὸς ἔδονται.
φάρμακα μὴ τεύχειν· μαγικῶν βίβλων ἀπέχεσθαι.
νηπιάχους ἀταλοὺς μὴ μάρψῃς χειρὶ βιαίως.
φεῦγε διχοστασίην καὶ ἔριν, πολέμου προσιόντος.
μὴ κακὸν εὖ ἔρξῃς· σπείρειν ἴσον ἔστ' ἐνὶ πόντῳ.
'Εργάζευ, μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύῃς.
πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
τέχνη τοι τρέφει ἄνδρας· ἀεργὸν δ' ἴψατο λιμός.
μηδ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης·
ἀλλ' ἀπὸ τῶν ἰδίων βίοτον διάγοις ἀνυβρίστως.
εἰ δέ τις οὐ δεδάηκε τέχνην, σκάπτοιτο δικέλλῃ.
ἔστι βίος πᾶν ἔργον, ἐπὴν μοχθεῖν ἐθέλῃσθα.
ναύτιλος εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα·
εἰ δὲ γεηπονίην μεθέπειν, μακραί τοι ἄρουραι.
οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον,
οὐδ' αὐτοῖς μακάρεσσι· πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.
μύρμηκες, γαίης μυχάτους προλελοιπότες οἴκους,
ἔρχονται βιότου κεχρήμενοι, ὁππότ' ἄρουραι
λήϊα κειράμεναι καρπῶν πλήθωσιν ἀλωάς·
οἱ δ' αὐτοὶ πυροῖο νεοτριβὲς ἄχθος ἔχουσιν,
ἢ κριθῶν· αἰεὶ δὲ φέρων φορέοντα διώκει,
ἐκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην συνάγοντες
ἄτρυτοι· φῦλον δ' ὀλίγον τελέθει πολύμοχθον.
κάμνει δ' ἠεροφοῖτις ἀριστοπόνος τε μέλισσα
ἢ πέτρης κοίλης κατὰ χηραμὸν ἢ δονάκεσσιν
ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἔνδοθι σίμβλων
σμήνεσι μυριότρητα κατ' ἄνθεα κηροδομοῦσα.

Μὴ μείνῃς ἄγαμος, μή πως νώνυμνος ὄληαι.
δός τι φύσει καὐτός· τέκε δ' ἔμπαλιν, ὡς ἐλοχεύθης.
Μὴ προαγωγεύσῃς ἄλοχον, σέο τέκνα μιαίνων·
οὐ γὰρ τίκτει παῖδας ὁμοίους μοιχικὰ λέκτρα.
μητρυιῆς μὴ ψαῦε τὰ δεύτερα λέκτρα γονῆος·
μητέρα δ' ὡς τίμα τὴν μητέρος ἴχνια βᾶσαν.
μηδὲ κασιγνήτης ἐς ἀπότροπον ἐλθέμεν εὐνήν.
μηδ' ἐπὶ παλλακίσιν πατρὸς λεχέεσσι μιγείης.
μηδὲ γυνὴ φθείροι βρέφος ἔμβρυον ἔνδοθι γαστρός,
μηδὲ τεκοῦσα κυσὶν ῥίψῃ καὶ γυψὶν ἕλωρα.
μηδ' ἐπὶ σῇ ἀλόχῳ ἐγκύμονι χεῖρα βάληαι.
μηδ' αὖ παιδογόνον τέμνειν φύσιν ἄρσενα κούρου·
μηδ' ἀλόγοις ζώοισι βατήριον ἐς λέχος ἐλθεῖν·
μηδ' ὕβριζε γυναῖκ' αἰσχυντηροῖς ἐπέεσσιν.
μὴ παραβῇς εὐνὰς φύσεως ἐς κύπριν ἄθεσμον·
οὐδ' αὐτοῖς θήρεσσι συνεύαδον ἄρσενες εὐναί.
μηδέ τι θηλύτεραι λέχος ἀνδρῶν μιμήσαιντο.
μηδ' ἐς ἔρωτα γυναικὸς ἅπας ῥεύσῃς ἀκάθεκτος.
οὐ γὰρ ἔρως θεός ἐστι, πάθος δ' ἀΐδηλον ἁπάντων.
μηδὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαίνειν.
στέργε τεὴν ἄλοχον· τί γὰρ ἥδυτερον καὶ ἄρειον,
ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γήραος ἄχρις,
καὶ πόσις ᾗ ἀλόχῳ, μηδ' ἐμπέσῃ ἄνδιχα νεῖκος;
μηδέ τις ἀμνήστευτα βίῃ κούρῃσι μιγείη.
Μηδὲ γυναῖκα κακὴν πολυχρήματον οἴκαδ' ἄγεσθαι·
λατρεύσεις ἀλόχῳ λυγρῆς χάριν εἵνεκα φερνῆς.
ἵππους εὐγενέας διζήμεθα γειαρότας τε
ταύρους ὑψιτένοντας, ἀτὰρ σκυλάκων παναγρῆας·
γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαίνομεν ἀφρονέοντες·
οὐδὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνεὸν ὄντα.
μηδὲ γάμῳ γάμον ἄλλον ἄγοις ἐπὶ πήματι πῆμα·
μηδ' ἀμφὶ κτεάνων συνομαίμοσιν εἰς ἔριν ἔλθῃς.
Παισὶν μὴ χαλέπαινε τεοῖς, ἀλλ' ἤπιος εἴης.
ἢν δέ τι παῖς ἀλίτῃ σε, κολουέτω υἱέα μήτηρ,
ἢ καὶ πρεσβύτατοι γενεῆς, ἢ δημογέροντες.
Μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν πλοκαμῖδα χαίτην·
μὴ κορυφὴν πλέξῃς μήθ' ἅμματα λοξὰ κορύμβων·
ἄρσεσιν οὐκ ἐπέοικε κομᾶν, χλιδαὶ δὲ γυναιξίν.

Παιδὸς δ' εὐμόρφου φρουρεῖν νεοτήσιον ὥρην·
πολλοὶ γὰρ λυσσῶσι πρὸς ἄρσενα μῖξιν ἔρωτος.
παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισιν·
μηδέ μιν ἄχρι γάμων πρὸ δόμων ὀφθῆμεν ἐάσῃς.
κάλλος δυστήρητον ἔφυ παίδων τοκέεσσιν.
Στέργε φίλους ἄχρις θανάτου, πίστις γὰρ ἀμείνων.
συγγενέσιν φιλότητα νέμοις ὁσίην θ' ὁμόνοιαν.
αἰδεῖσθαι πολιοκροτάφους, εἴκειν δὲ γέρουσιν
ἕδρης καὶ γεράων πάντων· γενεῇ δ' ἀτάλαντον
πρέσβυν ὁμήλικα πατρὸς ἴσαις τιμαῖσι γέραιρε.
Γαστρὸς ὀφειλόμενον δασμὸν παρέχου θεράπουσιν.
δούλῳ τακτὰ νέμοις, ἵνα τοι καταθύμιος εἴη.
στίγματα μὴ γράψῃς, ἐπονειδίζων θεράποντα.
δοῦλον μὴ βλάψῃς τι, κακηγορέων παρ' ἄνακτι.
λάμβανε καὶ βουλὴν παρὰ οἰκέτου εὖ φρονέοντος.
Ἁγνείη ψυχῆς τοῦ σώματός εἰσι καθαρμοί.
Ταῦτα δικαιοσύνης μυστήρια, τοῖα βιεῦντες
ζωὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος οὐδοῦ.

XII.

X E N O P H A N E S.

Ε Λ Ε Γ Ε Ι Α.

1.

Νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων
καὶ κύλικες· πλεκτοὺς δ' ἀμφιτιθεῖ στεφάνους,
ἄλλος δ' εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει·
κρατὴρ δ' ἕστηκεν μεστὸς ἐϋφροσύνης·
ἄλλος δ' οἶνος ἑτοῖμος, ὃς οὔποτε φησὶ προδώσειν,
μείλιχος ἐν κεράμοις, ἄνθεος ὀσδόμενος·
ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησιν,
ψυχρὸν δ' ἔστιν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν·
πάρκεινται δ' ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη·

βωμὸς δ' ἄνθεσιν ἀν τὸ μέσον πάντη πεπύκασται,
μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις.
σπείσαντας δὲ καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι
πρήσσειν — ταῦτα γὰρ ὦν ἐστι προχειρότερον,
οὐχ ὕβρις, — πίνειν ὁπόσον κεν ἔχων ἀφίκοιο
οἴκαδ' ἄνευ προπόλου, μὴ πάνυ γηραλέος·
ἀνδρῶν δ' αἰνεῖν τοῦτον, ὃς ἐσθλὰ πιὼν ἀναφαίνει,
ὥς οἱ μνημόσυν' ᾖ, καὶ τὸν, ὃς ἀμφ' ἀρετῆς,
οὔτι μάχας διέπει Τιτήνων οὐδὲ Γιγάντων,
οὐδὲ τὰ Κενταύρων, πλάσματα τῶν προτέρων,
ἢ στάσιας σφεδανάς· τοῖς οὐδὲν χρηστὸν ἔνεστιν·
θεῶν δὲ προμηθείην αἰὲν ἔχειν ἀγαθόν.

2.

Ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο
ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
παρ Πίσαο ῥοῆς ἐν Ὀλυμπίῃ, εἴτε παλαίων,
ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων,
εἴτε τὸ δεινὸν ἄεθλον, ὃ παγκράτιον καλέουσιν,
ἀστοῖσίν κ' εἴη κυδρότερος προσορᾶν,
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο,
καί κεν σῖτ' εἴη δημοσίων κτεάνων
ἐκ πόλεως καὶ δῶρον, ὅ οἱ κειμήλιον εἴη·
εἴτε καὶ ἵπποισιν, ταῦτά χ' ἅπαντα λάχοι,
οὐκ ἐὼν ἄξιος, ὥσπερ ἐγώ· ῥώμης γὰρ ἀμείνων
ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη.
ἀλλ' εἰκῇ μάλα τοῦτο νομίζεται· οὐδὲ δίκαιον
προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.
οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσι μετείη,
οὔτ' εἰ πενταθλεῖν, οὔτε παλαισμοσύνην,
οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τό πέρ ἐστι πρότιμον
ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει,
τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη·
σμικρὸν δ' ἄν τι πόλει χάρμα γένοιτ' ἐπὶ τῷ,
εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας·
οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλεως.

3.

Ἀβροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
  ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,
ᾔεσαν εἰς ἀγορὴν παναλουργέα φάρε᾽ ἔχοντες,
  οὐ μείους ὥςπερ χίλιοι εἰς ἐπίπαν,
αὐχαλέοι, χαίτῃσιν ἀγαλλόμενοι εὐπρεπέεσσιν,
  ἀσκητοῖς ὀδμὴν χρίμασι δευόμενοι.

4.

Ουδέ κεν ἐν κύλικι πρότερον κεράσειέ τις οἶνον
  ἐγχέας, ἀλλ᾽ ὕδωρ καὶ καθύπερθε μέθυ.

5.

Πέμψας γὰρ κωλῆν ἐρίφου, σκέλος ἤραο πῖον
  ταύρου λαρινοῦ, τίμιον ἀνδρὶ λαχεῖν,
τοῦ κλέος Ἑλλάδα πᾶσαν ἀφίξεται οὐδ᾽ ἀπολήξει,
  ἔςτ᾽ ἂν ἀοιδάων ᾖ γένος Ἑλλαδικῶν·

6.

Νῦν αὖτ᾽ ἄλ[illegible]μι λόγον, δείξω δὲ κέλευθον.

* * *

Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
  φασὶν ἐποικτεῖραι καὶ τόδε φάσθαι ἔπος·
Παῦσαι μηδὲ ῥάπιζ᾽, ἐπειὴ φίλου ἀνέρος ἐστὶν
  ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀΐων.

7.

Ἤδη δ᾽ ἑπτά τ᾽ ἔασι καὶ ἑξήκοντ᾽ ἐνιαυτοί
  βληστρίζοντες ἐμὴν φροντίδ᾽ ἀν᾽ Ἑλλάδα γῆν·
ἐκ γενετῆς δὲ τότ᾽ ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
  εἴπερ ἐγὼ περὶ τῶνδ᾽ οἶδα λέγειν ἐτύμως.

8.

Ἀνδρὸς γηρέντος πολλὸν ἀφαυρότερος.

ΙΑΜΒΟΙ.

9.

Ἐγὼ δ' ἐμαυτὸν ἐκ πόλεως πόλιν φέρων
βλήστριζον.

XIII.

THEOGNIS.

Ὦ ἄνα, Λητοῦς υἱέ, Διὸς τέκος, οὔποτε σεῖο
  λήσομαι ἀρχόμενος οὐδ' ἀποπαυόμενος,
ἀλλ' αἰεὶ πρῶτον σὲ καὶ ὕστατον ἔν τε μέσοισιν
  ἀείσω· σὺ δέ μοι κλῦθι καὶ ἐσθλὰ δίδου.

Φοῖβε ἄναξ, ὅτε μέν σε θεὰ τέκε πότνια Λητώ,
  φοίνικος ῥαδινῆς χερσὶν ἐφαψαμένη,
ἀθανάτων κάλλιστον, ἐπὶ τροχοειδέϊ λίμνῃ,
  πᾶσα μὲν ἐπλήσθη Δῆλος ἀπειρεσίη
ὀδμῆς ἀμβροσίης, ἐγέλασσε δὲ γαῖα πελώρη,
  γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς.

Ἄρτεμι θηροφόνη, θύγατερ Διός, ἣν Ἀγαμέμνων
  εἵσαθ', ὅτ' ἐς Τροίην ἔπλεε νηυσὶ θοαῖς,
εὐχομένῳ μοι κλῦθι, κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε·
  σοὶ μὲν τοῦτο, θεά, σμικρόν, ἐμοὶ δὲ μέγα.

Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου
  ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ' ἔπος·
ὅττι καλόν, φίλον ἐστί· τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστιν.
  τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
  τοῖσδ' ἔπεσιν, λήσει δ' οὔποτε κλεπτόμενα.
οὐδέ τις ἀλλάξει κάκιον τοὐσθλοῦ παρεόντος.

ὧδε δὲ πᾶς τις ἐρεῖ· Θεύγνιδός ἐστιν ἔπη
τοῦ Μεγαρέως· πάντας δὲ κατ' ἀνθρώπους ὀνομαστός·
ἀστοῖσιν δ' οὔ πω πᾶσιν ἁδεῖν δύναμαι·
οὐδὲν θαυμαστόν, Πολυπαΐδη· οὐδὲ γὰρ ὁ Ζεὺς
οὔθ' ὕων πάντεσσ' ἁνδάνει οὔτ' ἀνέχων.

Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτός,
Κύρν', ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον.
πέπνυο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισιν
τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος.

Ταῦτα μὲν οὕτως ἴσθι· κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο·
καὶ παρὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
ἵζε, καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.
ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσιν
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλεε, καί ποτε φήσεις
εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.
ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες, ἡγεμόνες δὲ
τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.

Οὐδεμίαν πω, Κύρν', ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες·
ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδῃ,
δῆμόν τε φθείρωσι, δίκας τ' ἀδίκοισι διδῶσιν
οἰκείων κερδέων εἵνεκα καὶ κράτεος,
ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμιεῖσθαι,
μηδ' εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ,
εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται,
κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα.
ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν.
μούναρχος δὲ πόλει μήποτε τῇδε ἅδοι.

Κύρνε, πόλις μὲν ἔθ' ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι,
οἳ πρόσθ' οὔτε δίκας ἤδεσαν οὔτε νόμους,

ἀλλ᾽ ἀμφὶ πλευρῇσι δορὰς αἰγῶν κατέτριβον,
ἔξω δ᾽ ὥςτ᾽ ἔλαφοι τῆςδ᾽ ἐνέμοντο πόλεος·
καὶ νῦν εἴσ᾽ ἀγαθοί, Πολυπαΐδη· οἱ δὲ πρὶν ἐσθλοὶ
νῦν δειλοί. τίς κεν ταῦτ᾽ ἀνέχοιτ᾽ ἐςορῶν;
ἀλλήλους δ᾽ ἀπατῶσιν ἐπ᾽ ἀλλήλοισι γελῶντες,
οὔτε κακῶν γνώμας εἰδότες οὔτ᾽ ἀγαθῶν.

Μηδένα τῶνδε φίλον ποιεῦ, Πολυπαΐδη, ἀστῶν
ἐκ θυμοῦ, χρείης εἵνεκα μηδεμιῆς·
ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ᾽ ὁτιοῦν
σπουδαῖον· γνώσῃ γὰρ ὀϊζυρῶν φρένας ἀνδρῶν,
ὥς σφιν ἐπ᾽ ἔργοισιν πίστις ἔπ᾽ οὐδεμία,
ἀλλὰ δόλους τ᾽ ἀπάτας τε πολυπλοκίας τ᾽ ἐφίλησαν
οὕτως, ὡς ἄνδρες μηκέτι σωζόμενοι.

Μήποτε, Κύρνε, κακῷ πίσυνος βούλευε σὺν ἀνδρί,
εὖτ᾽ ἂν σπουδαῖον πρῆγμ᾽ ἐθέλῃς τελέσαι,
ἀλλὰ μετ᾽ ἐσθλὸν ἰὼν βούλευ καὶ πολλὰ μογῆσαι
καὶ μακρὴν ποσσίν, Κύρν᾽, ὁδὸν ἐκτελέσαι.

Πρῆξιν μηδὲ φίλοισιν ὅλως ἀνακοίνεο πᾶσιν.
παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.

Παύροισιν πίσυνος μεγάλ᾽ ἀνδράσιν ἔργ᾽ ἐπιχείρει,
μήποτ᾽ ἀνήκεστον, Κύρνε, λάβῃς ἀνίην.

Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαί
ἄξιος ἐν χαλεπῇ, Κύρνε, διχοστασίῃ.

Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γινομένους,
οἵ τινες ἂν τολμῷεν, ὁμόφρονα θυμὸν ἔχοντες,
ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.

Οὐ τόσσους χ᾽ εὕροις διζήμενος οὐδ᾽ ἐπὶ πάντας
ἀνθρώπους, οὓς ναῦς μὴ μία πάντας ἄγοι,
οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
αἰδώς, οὐδ᾽ αἰσχρὸν χρῆμ᾽ ἔπι κέρδος ἄγει.

Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ
εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος.
ἀλλὰ φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
ἔχθαιρ', ἀμφαδίην νεῖκος ἀειράμενος.
ὃς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
δειλός, Κύρν', ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.

Ἤν τις ἐπαινήσῃ σε τόσον χρόνον ὅσσον ὁρῴης,
νοσφισθεὶς δ' ἄλλην γλῶσσαν ἵῃσι κακήν,
τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔτι μάλ' ἐσθλός,
ὅς κ' εἴπῃ γλώσσῃ λῷα, φρονῇ δ' ἕτερα.

Ἀλλ' εἴη τοιοῦτος ἐμοὶ φίλος, ὃς τὸν ἑταῖρον
γινώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει
ἀντὶ κασιγνήτου· σὺ δέ μοι, φίλε, ταῦτ' ἐνὶ θυμῷ
φράζεο, καὶ ποτ' ἐμοῦ μνήσεαι ἐξοπίσω.

Μηδείς σ' ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι,
Κύρνε· τί δ' ἔστ' ὄφελος δειλὸς ἀνὴρ φίλος ὤν;
οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
οὔτε κεν ἐσθλὸν ἔχων τοῦ μεταδοῦν ἐθέλοι.

Δειλοὺς εὖ ἕρδοντι ματαιοτάτη χάρις ἐστίν·
ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.
οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήϊον ἀμῷς,
οὔτε κακοὺς εὖ δρῶν εὖ πάλιν ἀντιλάβοις.
ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον. ἢν δ' ἓν ἁμάρτῃς,
τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης.
οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες,
μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω.

Μήποτε τὸν κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον,
ἀλλ' αἰεὶ φεύγειν ὥςτε κακὸν λιμένα.

Πολλοί τοι πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

Κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδέν,
Κύρν', οὐδ' εὐλαβίης ἐστὶ περὶ πλέονος.

Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἄνσχετος ἄτη,
Κύρνε, καὶ ἐξευρεῖν ῥᾴδιον ἀνδρὶ σοφῷ.
εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λελήθῃ
ψυδρὸς ἐών, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχῃ,
τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσιν,
καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.
οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὐδὲ γυναικός,
πρὶν πειρηθείης ὥςπερ ὑποζυγίου·
οὐδέ κεν εἰκάσσαις ὥςπερ ποτ' ἐς ὥριον ἐλθών·
πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι.

Μήτ' ἀρετὴν εὔχου, Πολυπαΐδη, ἔξοχος εἶναι,
μήτ' ἄφενος· μοῦνον δ' ἀνδρὶ γένοιτο τύχη.

Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
ἔπλετο, τοῖς ὁσίη, Κύρνε, μέμηλε δίκη.

Οὐδείς, Κύρν', ἄτης καὶ κέρδεος αἴτιος αὐτός,
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων·
οὐδέ τις ἀνθρώπων ἐργάζεται, ἐν φρεσὶν εἰδὼς
ἐς τέλος εἴτ' ἀγαθὸν γίνεται εἴτε κακόν.
πολλάκι γὰρ δοκέων θήσειν κακόν, ἐσθλὸν ἔθηκεν·
καί τε δοκῶν θήσειν ἐσθλόν, ἔθηκε κακόν.
οὐδέ τῳ ἀνθρώπων παραγίνεται, ὅσσ' ἐθέλῃσιν·
ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης.
ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν·
θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.

Οὐδείς πω ξεῖνον, Πολυπαΐδη, ἐξαπατήσας
οὐδ' ἱκέτην θνητῶν ἀθανάτους ἔλαθεν.

Βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν,
ἢ πλουτεῖν, ἀδίκως χρήματα πασάμενος.
ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν,
πᾶς δέ τ' ἀνὴρ ἀγαθός, Κύρνε, δίκαιος ἐών.

Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν,
Κύρν'· ἀρετῆς δ' ὀλίγοις ἀνδράσι μοῖρ' ἕπεται.

Ὕβριν, Κύρνε, θεὸς πρῶτον κακὸν ὤπασεν ἀνδρί,
οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.

Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.

Μήποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθείς,
μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε.
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλως,
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.

Μήποτε, Κύρν', ἀγορᾶσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδεὶς
ἀνθρώπων ὅ τι νὺξ χἠμέρη ἀνδρὶ τελεῖ.

Πολλοί τοι χρῶνται δειλαῖς φρεσὶ, δαίμονι δ' ἐσθλῷ,
οις τὸ κακὸν δοκέον γίνεται εἰς ἀγαθόν.
εἰσὶν δ' οἳ βουλῇ τ' ἀγαθῇ καὶ δαίμονι δειλῷ
μοχθίζουσι, τέλος δ' ἔργμασιν οὐχ ἕπεται.

Οὐδεὶς ἀνθρώπων οὔτ' ὄλβιος οὔτε πενιχρός
οὔτε κακὸς νόσφιν δαίμονος οὔτ' ἀγαθός.

Ἄλλ' ἄλλῳ κακόν ἐστι, τὸ δ' ἀτρεκὲς ὄλβιος οὐδεὶς
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

Ὃν δὲ θεοὶ τιμῶσ', ὃν καὶ μωμεύμενος αἰνεῖ·
ἀνδρὸς δὲ σπουδὴ γίνεται οὐδεμία.

Θεοῖς εὔχου, θεοῖς ἐστιν ἔπι κράτος· οὔ τοι ἄτερ θεῶν
γίνεται ἀνθρώποις οὔτ' ἀγάθ' οὔτε κακά.

Ἄνδρ' ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα,
καὶ γήρως πολιοῦ, Κύρνε, καὶ ἠπιάλου,
ἣν δὴ χρὴ φεύγοντα καὶ ἐς βαθυκήτεα πόντον
ῥιπτεῖν, καὶ πετρέων, Κύρνε, κατ' ἠλιβάτων.
καὶ γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτε τι εἰπεῖν
οὔθ' ἔρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται.

Χρὴ γὰρ ὁμῶς ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίζησθαι χαλεπῆς, Κύρνε, λύσιν πενίης.

Τεθνάμεναι, φίλε Κύρνε, πενιχρῷ βέλτερον ἀνδρὶ
ἢ ζώειν χαλεπῇ τειρόμενον πενίῃ.

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
ἐσθλὸς ἀνήρ, ἤν οἱ χρήματα πολλὰ διδῷ.
οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
πλουσίου, ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
χρήματα γὰρ τιμῶσι· καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημεν,
καὶ κακὸς ἐξ ἀγαθοῦ· πλοῦτος ἔμιξε γένος.
οὕτω μὴ θαύμαζε γένος, Πολυπαΐδη, ἀστῶν
μαυροῦσθαι· σὺν γὰρ μίσγεται ἐσθλὰ κακοῖς.

Αὐτός τοι ταύτην εἰδὼς κακόπατριν ἐοῦσαν
εἰς οἴκους ἄγεται, χρήμασι πειθόμενος,
εὔδοξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
ἐντύει, ἥ τ' ἀνδρὸς τλήμονα θῆκε νόον.

Χρῆμα δ', ὃ μὲν Διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται
καὶ καθαρῶς, αἰεὶ παρμόνιμον τελέθει.
εἰ δ' ἀδίκως παρὰ καιρὸν ἀνὴρ φιλοκερδέϊ θυμῷ
κτήσεται, εἴθ' ὅρκῳ παρ τὸ δίκαιον ἑλών,
αὐτίκα μέν τι φέρειν κέρδος δοκεῖ, ἐς δὲ τελευτὴν
αὖθις ἔγεντο κακόν, θεῶν δ' ὑπερέσχε νόος.
ἀλλὰ τάδ' ἀνθρώπων ἀπατᾷ νόον· οὐ γὰρ ἐπ' αὐτοῦ
τίνονται μάκαρες πρήγματος ἀμπλακίας·
ἀλλ' ὁ μὲν αὐτὸς ἔτισε κακὸν χρέος οὐδὲ φίλοισιν
ἄτην ἐξοπίσω παισὶν ὑπερκρέμασεν·
ἄλλον δ' οὐ κατέμαρψε δίκη· θάνατος γὰρ ἀναιδὴς
πρόσθεν ἐπὶ βλεφάροις ἕζετο κῆρα φέρων.

Οὐκ ἔστιν φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος·
τῆς δὲ φυγῆς ἐστὶν τοῦτ' ἀνιηρότατον.

[*Οἰνόν τοι πίνειν πουλὺν κακόν· ἢν δέ τις αὐτὸν*
πίνῃ ἐπισταμένως, οὐ κακός, ἀλλ' ἀγαθός.]

Κύρνε, φίλους κατὰ πάντας ἐπίστρεφε ποικίλον ἦθος,
ὀργὴν συμμίσγων ἥντιν' ἕκαστος ἔχει.

Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ,
  τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.
νῦν μὲν τῇδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος χρόα γίνου.
  κρέσσων τοι σοφίη γίνεται ἀτροπίης.

Μηδὲν ἄγαν ἄσχαλλε ταρασσομένων πολιητέων,
  Κύρνε, μέσην δ' ἔρχευ τὴν ὁδόν, ὥςπερ ἐγώ.

Ὅςτις τοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδέν,
  ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
κεῖνός γ' ἄφρων ἐστί, νόου βεβλαμμένος ἐσθλοῦ.
  ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα,
ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδίῃσιν ἕπεσθαι,
  τῷ δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἅδον.

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν·
  οἳ γὰρ νῦν ἡμῶν πλεῖστον ἔχουσι βίον,
διπλάσιον σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας;
  χρήματά τοι θνητοῖς γίνεται ἀφροσύνη·
ἄτη δ' ἐξ αὐτῆς ἀναφαίνεται, ἣν ὁπότε Ζεὺς
  πέμψῃ τειρομένοις, ἄλλοτε ἄλλος ἔχει.

Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ,
  Κύρν', ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.

Οὐδὲν ἐπιπρέπει ἡμιν, ἅτ' ἀνδράσι σωζομένοισιν,
  ἀλλ' ὡς πάγχυ πόλει, Κύρνε, ἁλωσομένῃ.

Σοὶ μὲν ἐγὼ πτέρ' ἔδωκα, σὺν οἷς ἐπ' ἀπείρονα πόντον
  πωτήσῃ καὶ γῆν πᾶσαν ἀειράμενος
ῥηϊδίως· θοίνης δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ
  ἐν πάσαις, πολλῶν κείμενος ἐν στόμασιν·
καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
  εὐκόσμως ἐρατοὶ καλά τε καὶ λιγέα
ᾄσονται· καὶ ὅταν δνοφερῆς ὑπὸ κεύθεσι γαίης
  βῇς πολυκωκύτους εἰς Ἀΐδαο δόμους,
οὐδὲ τότ' οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις
  ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα,

Κύρνε, καθ' Ἑλλάδα γῆν στρωφώμενος ἠδ' ἀνὰ νήσους,
ἰχθυόεντα περῶν πόντον ἐπ' ἀτρύγετον,
οὐχ ἵππων νώτοισιν ἐφήμενος· ἀλλά σε πέμψει
ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων·
πᾶσι γάρ, οἷσι μέμηλε, καὶ ἐσσομένοισιν ἀοιδή
ἔσσῃ ὁμῶς, ὄφρ' ἂν ᾖ γῆ τε καὶ ἠέλιος·
αὐτὰρ ἐγὼν ὀλίγης παρὰ σεῦ οὐ τυγχάνω αἰδοῦς,
ἀλλ' ὥςπερ μικρὸν παῖδα λόγοις μ' ἀπατᾷς.

Κάλλιστον τὸ δικαιότατον· λῷστον δ' ὑγιαίνειν·
πρῆγμα δὲ τερπνότατον, τοῦ τις ἐρᾷ, τὸ τυχεῖν.

Ἵππος ἐγὼ καλὴ καὶ ἀεθλίη, ἀλλὰ κάκιστον
ἄνδρα φέρω, καί μοι τοῦτ' ἀνιηρότατον·
πολλάκι δ' ἠμέλλησα διαῤῥήξασα χαλινὸν
φεύγειν, ὠσαμένη τὸν κακὸν ἡνίοχον.

Οὔ μοι πίνεται οἶνος, ἐπεὶ παρὰ παιδὶ τερείνῃ
ἄλλος ἀνὴρ κατέχει πολλὸν ἐμοῦ κακίων·
ψυχρόν μοι παρὰ τῆδε φίλοι πίνουσι τοκῆες,
ὥςθ' ἅμα θ' ὑδρεύει, καί με γοῶσα φέρει·
ἔνθα μέσην περὶ παῖδα βαλὼν ἀγκῶν' ἐφίλησα
δειρήν, ἡ δὲ τέρεν φθέγγετ' ἀπὸ στόματος.

Γνωτή τοι πενίη γε καὶ ἀλλοτρίη περ ἐοῦσα·
οὔτε γὰρ εἰς ἀγορὴν ἔρχεται οὔτε δίκας·
πάντῃ γὰρ τοὔλασσον ἔχει, πάντῃ δ' ἐπίμυκτος,
πάντῃ δ' ἐχθρὴ ὁμῶς γίνεται, ἔνθα περ ᾖ.

Ἴσως τοι τὰ μὲν ἄλλα θεοὶ θνητοῖς ἀνθρώποις
γῆράς τ' οὐλόμενον καὶ νεότητ' ἔδοσαν·
τῶν πάντων δὲ κάκιστον ἐν ἀνθρώποις, θανάτου τε
καὶ πασέων νούσων ἐστὶ πονηρότατον,
παῖδας ἐπεὶ θρέψαιο καὶ ἄρμενα πάντα παράσχοις,
χρήματα δ' ἐγκαταθῇς, πόλλ' ἀνιηρὰ παθών,
τὸν πατέρ' ἐχθαίρουσι, καταρῶνται δ' ἀπολέσθαι,
καὶ στυγέουσ' ὥςπερ πτωχὸν ἐπερχόμενον.

Εἰκὸς τὸν κακὸν ἄνδρα κακῶς τὰ δίκαια νομίζειν,
  μηδεμίαν κατόπισθ᾽ ἁζόμενον νέμεσιν·
δειλῷ γάρ τ᾽ ἀπάλαμνα βροτῷ πάρα πόλλ᾽ ἀνελέσθαι
  παρ ποδός, ἡγεῖσθαί θ᾽ ὡς καλὰ πάντα τιθεῖ.

Ἀστῶν μηδενὶ πιστὸς ἐὼν πόδα τῶνδε πρόβαινε,
  μήθ᾽ ὅρκῳ πίσυνος μήτε φιλημοσύνῃ,
μηδ᾽ εἰ Ζῆν᾽ ἐθέλῃ παρέχειν βασιλῆα μέγιστον
  ἔγγυον ἀθανάτων, πιστὰ τιθεῖν ἐθέλων.

Ἐν γάρ τοι πόλει ὧδε κακοψόγῳ ἁνδάνει οὐδέν·
  ὡς δὲ τὸ σῶσαι οἱ πολλοὶ ἀνολβότεροι.

Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ γίνεται ἐσθλὰ κακοῖσιν
  ἀνδρῶν· ἡγέονται δ᾽ ἐκτραπέλοισι νόμοις·
αἰδὼς μὲν γὰρ ὄλωλεν· ἀναιδείη δὲ καὶ ὕβρις
  νικήσασα δίκην γῆν κατὰ πᾶσαν ἔχει.

Οὐδὲ λέων αἰεὶ κρέα δαίνυται, ἀλλά μιν ἔμπης
  καὶ κρατερόν περ ἐόντ᾽ ἀγρεῖ ἀμηχανίη.

Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος,
  φθεγγόμενος δ᾽ ἀδαής, οἷσι παρῇ, μέλεται,
ἐχθαίρουσι δὲ πάντες, ἀναγκαίη δ᾽ ἐπίμιξις
  ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.

Οὐδεὶς λῇ φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται,
  οὐδ᾽ ᾧ κ᾽ ἐκ γαστρός, Κύρνε, μιῆς γεγόνῃ.

Πικρὸς καὶ γλυκὺς ἴσθι καὶ ἁρπαλέος καὶ ἀπηνής
  λάτρισι καὶ δμωσὶν γείτοσί τ᾽ ἀγχιθύροις.

Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον, ἀλλ᾽ ἀτρεμίζειν,
  τὸν δὲ κακὸν κινεῖν, ἔστ᾽ ἂν ἐς ὀρθὰ βάλῃς.

Τοὶ κακοὶ οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν,
  ἀλλ᾽ ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην
ἔργα τε δείλ᾽ ἔμαθον καὶ ἔπη δύςφημα καὶ ὕβριν,
  ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.

Ἐν μὲν συσσίτοισιν ἀνὴρ πεπνυμένος εἶναι,
πάντα δέ μιν λήθειν ὡς ἀπεόντα δοκοῖ·
εἰς δὲ φέροι τὰ γελοῖα, θύρηφι δὲ καρτερὸς εἴη,
γινώσκων ὀργὴν ἥν τιν' ἕκαστος ἔχει.

Ἐν μὲν μαινομένοις μάλα μαίνομαι, ἐν δὲ δικαίοις
πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.

Πολλοί τοι πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾷ δ' ἔν τε κακοῖς κείμενος ἔν τ' ἀγαθοῖς·
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσῃ,
ἀφραίνων κακίην οὐ δύναται κατέχειν.

Μή ποτ' ἐπὶ σμικρᾷ προφάσει φίλον ἄνδρ' ἀπολέσσαι
πειθόμενος χαλεπῇ, Κύρνε, διαιβολίῃ.
εἴ τις ἁμαρτωλοῖσι φίλων ἐπὶ παντὶ χολῷτο,
οὔ ποτ' ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι
εἶεν· ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἕπονται
θνητοῖς, Κύρνε· θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.

Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα διώκων,
Κύρνε, σὺν ἰθείῃ θεῶν δίκῃ ἀθανάτων.

Ἥσυχος, ὥςπερ ἐγώ, μέσσην ὁδὸν ἔρχεο ποσσίν,
μηδ' ἑτέροισι διδούς, Κύρνε, τὰ τῶν ἑτέρων.

Μή ποτε φεύγοντ' ἄνδρα ἐπ' ἐλπίδι, Κύρνε, φιλήσῃς·
οὐδὲ γὰρ οἴκαδε βὰς γίνεται αὐτὸς ἔτι.

Μηδὲν ἄγαν σπεύδειν· πάντων μέσ' ἄριστα· καὶ οὕτως
ἕξεις, Κύρν', ἀρετήν, ἥν τε λαβεῖν χαλεπόν.

Ζεύς μοι τῶν τε φίλων δοίη τίσιν, οἵ με φιλεῦσιν,
τῶν τ' ἐχθρῶν μεῖζον, Κύρνε, δυνησόμενον.

χοὕτως ἂν δοκέοιμι μετ᾽ ἀνθρώποις θεὸς εἶναι,
εἴ μ᾽ ἀποτισάμενον μοῖρα κίχοι θανάτου.

Ἀλλὰ Ζεῦ τέλεσόν μοι Ὀλύμπιε καίριον εὐχήν·
δὸς δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν.
τεθναίην δ᾽, εἰ μή τι κακῶν ἄμπαυμα μεριμνέων
εὑροίμην, δοίην δ᾽ ἀντ᾽ ἀνιῶν ἀνίας·
αἶσα γὰρ οὕτως ἐστί· τίσις δ᾽ οὐ φαίνεται ἡμῖν
ἀνδρῶν, οἳ τἀμὰ χρήματ᾽ ἔχουσι βίῃ
συλήσαντες· ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην,
χειμάῤῥῳ ποταμῷ πάντ᾽ ἀποσεισάμενος·
τῶν εἴη μέλαν αἷμα πιεῖν· ἐπί τ᾽ ἐσθλὸς ὄροιτο
δαίμων, ὃς κατ᾽ ἐμὸν νοῦν τελέσειε τάδε.

Ἆ δειλὴ πενίη, τί μένεις προλιποῦσα παρ᾽ ἄλλον
ἄνδρ᾽ ἰέναι; μὴ λὴν οὐκ ἐθέλοντα φίλει·
ἀλλ᾽ ἴθι καὶ δόμον ἄλλον ἐποίχεο, μηδὲ μεθ᾽ ἡμέων
αἰεὶ δυστήνου τοῦδε βίου μέτεχε.

Τόλμα, Κύρνε, κακοῖσιν, ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες,
εὖτέ σε καὶ τούτων μοῖρ᾽ ἐπέβαλλεν ἔχειν·
ὡς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακόν, ὣς δὲ καὶ αὖτις
ἐκδῦναι πειρῶ, θεοῖσιν ἐπευχόμενος.

Μηδὲ λίην ἐπίφαινε· κακὸν δέ τι, Κύρν᾽, ἐπιφαίνειν·
παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.

Ἀνδρός τοι κραδίη μινύθει μέγα πῆμα παθόντος,
Κύρν᾽· ἀποτινυμένου δ᾽ αὔξεται ἐξοπίσω.

Εὖ κώτιλλε τὸν ἐχθρόν· ὅταν δ᾽ ὑποχείριος ἔλθῃ,
τῖσαί νιν, πρόφασιν μηδεμίαν θέμενος.

Ἴσχε νόον, γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέσθω·
δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

Ἀστῶν δ᾽ οὐ δύναμαι γνῶναι νόον ὅν τιν᾽ ἔχουσιν·
οὔτε γὰρ εὖ ἕρδων ἀνδάνω οὔτε κακῶς·
μωμεῦνται δέ με πολλοί, ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί·
μιμεῖσθαι δ᾽ οὐδεὶς τῶν ἀσόφων δύναται.

Μή μ' ἀέκοντα βίῃ κεντῶν ὑπ' ἄμαξαν ἔλαυνε,
εἰς φιλότητα λίην, Κύρνε, προςελκόμενος.

Ζεῦ φίλε, θαυμάζω σε· σὺ γὰρ πάντεσσιν ἀνάσσεις
τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν·
ἀνθρώπων δ' εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου·
σὸν δὲ κράτος πάντων ἔσθ' ὕπατον, βασιλεῦ.
πῶς δή σευ, Κρονίδη, τολμᾷ νόος ἄνδρας ἀλιτροὺς
ἐν ταὐτῇ μοίρῃ τόν τε δίκαιον ἔχειν,
ἤν τ' ἐπὶ σωφροσύνην τρεφθῇ νόος, ἤν τε πρὸς ὕβριν
ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων;

Οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν,
οὐδ' ὁδὸν ἥν τις ἰὼν ἀθανάτοισιν ἅδοι.

Ἔμπης δ' ὄλβον ἔχουσιν ἀπήμονα· τοὶ δ' ἀπὸ δειλῶν
ἔργων ἴσχονται θυμόν, ὅμως πενίην
μητέρ' ἀμηχανίης ἔλαβον, τὰ δίκαια φιλεῦντες,
ἥ τ' ἀνδρῶν παράγει θυμὸν ἐς ἀμπλακίην,
βλάπτουσ' ἐν στήθεσσι φρένας κρατερῆς ὑπ' ἀνάγκης·
τολμᾷ δ' οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν,
χρημοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει,
ψεύδεά τ' ἐξαπάτας τ' οὐλομένας τ' ἔριδας,
ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δέ οἱ οὐδὲν ἔοικεν·
ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.

Ἐν πενίῃ δ' ὅ τε δειλὸς ἀνὴρ ὅ τε πολλὸν ἀμείνων
φαίνεται, εὖτ' ἂν δὴ χρημοσύνη κατέχῃ·
τοῦ μὲν γὰρ τὰ δίκαια φρονεῖ νόος, οὗ τέ περ αἰεὶ
ἰθεῖα γνώμη στήθεσιν ἐμπεφύῃ·
τοῦ δ' αὖτ' οὔτε κακοῖς ἕπεται νόος οὔτ' ἀγαθοῖσιν·
τὸν δ' ἀγαθὸν τολμᾶν χρὴ τά τε καὶ τὰ φέρειν.

Αἰδεῖσθαι δὲ φίλους, φεύγειν τ' ὀλεσήνορας ὅρκους,
Εὐτράπελ', ἀθανάτων μῆνιν ἀλευάμενον.

Μηδὲν ἄγαν σπεύδειν· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος
ἔργμασιν ἀνθρώπων· πολλάκι δ' εἰς ἀρετὴν

σπεύδει ἀνήρ, κέρδος διζήμενος, ὅν τινα δαίμων
πρόφρων εἰς μεγάλην ἀμπλακίην παράγει,
καί οἱ ἔθηκε δοκεῖν, ἃ μὲν ᾖ κακά, ταῦτ᾽ ἀγάθ᾽ εἶναι
εὐμαρέως, ἃ δ᾽ ἂν ᾖ χρήσιμα, ταῦτα κακά.

Φίλτατος ὢν ἥμαρτες· ἐγὼ δέ τοι αἴτιος οὐδέν,
ἀλλ᾽ αὐτὸς γνώμης οὐκ ἀγαθῆς ἔτυχες.

Οὐδένα θησαυρὸν παισὶν καταθήσῃ ἀμείνω
αἰδοῦς, ἥ τ᾽ ἀγαθοῖς ἀνδράσι, Κύρν᾽, ἕπεται.

Οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος,
ᾧ γνώμη θ᾽ ἕπεται, Κύρνε, καὶ ᾧ δύναμις.

Πίνων δ᾽ οὐχ οὕτως θωρήξομαι, οὐδέ με οἶνος
ἐξάγει, ὥστ᾽ εἰπεῖν δεινὸν ἔπος περὶ σοῦ.

Οὐδέν᾽ ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν
πιστὸν ἑταῖρον, ὅτῳ μή τις ἔνεστι δόλος·
ἐς βάσανον δ᾽ ἐλθὼν παρατρίβομαι ὥστε μολίβδῳ
χρυσός, ὑπερτερίης δ᾽ ἄμμιν ἔνεστι λόγος.

Πολλά με καὶ συνιέντα παρέρχεται· ἀλλ᾽ ὑπ᾽ ἀνάγκης
σιγῶ, γινώσκων ὑμετέρην δύναμιν.

Πολλοῖς ἀνθρώπων γλώσσῃ θύραι οὐκ ἐπίκεινται
ἁρμόδιαι, καί σφιν πόλλ᾽ ἀμέλητα μέλει·
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον,
ἐσθλὸν δ᾽ ἐξελθὸν λώϊον ἢ τὸ κακόν.

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
μηδ᾽ ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου·
φύντα δ᾽ ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι,
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.

Φῦσαι καὶ θρέψαι ῥᾷον βροτόν, ἢ φρένας ἐσθλὰς
ἐνθέμεν· οὐδείς πω τοῦτό γ᾽ ἐπεφράσατο,
ᾧ τις σώφρον᾽ ἔθηκε τὸν ἄφρονα, κἀκ κακοῦ ἐσθλόν·
εἰ δ᾽ Ἀσκληπιάδαις τοῦτό γ᾽ ἔδωκε θεός,

ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν,
πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον·
εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα,
οὔ ποτ' ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακός,
πειθόμενος μύθοισι σαόφροσιν· ἀλλὰ διδάσκων
οὔ ποτε ποιήσεις τὸν κακὸν ἄνδρ' ἀγαθόν.

Νήπιος, ὃς τὸν ἐμὸν μὲν ἔχει νόον ἐν φυλακῇσιν,
τὸν δ' αὐτοῦ ἴδιον οὐδὲν ἐπιστρέφεται.

Οὐδεὶς γὰρ πάντ' ἐστὶν ἀνόλβιος· ἀλλ' ὁ μὲν ἐσθλός
τολμᾷ ἔχων τὸ κακόν, κοὐκ ἐπίδηλος ὅμως·
δειλὸς δ' οὔτ' ἀγαθοῖσιν ἐπίσταται οὔτε κακοῖσιν
θυμὸν ὁμῶς μίσγειν· ἀθανάτων δὲ δόσεις
παντοῖαι θνητοῖσιν ἐπέρχοντ', ἀλλ' ἐπιτολμᾶν
χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν, ἔχειν.

Εἴ μ' ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης
αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης·
εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥςπερ ἄπεφθον
χρυσόν, ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ,
τοῦ χροιῆς καθύπερθε μέλας οὐχ ἅπτεται ἰὸς
οὐδ' εὐρώς, αἰεὶ δ' ἄνθος ἔχει καθαρόν.

Ὤνθρωπ', εἰ γνώμης ἔλαχες μέρος ὥςπερ ἀνοίης,
καὶ σώφρων οὕτως ὥςπερ ἄφρων ἐγένου,
πολλοῖς ἂν ζηλωτὸς ἐφαίνεο τῶνδε πολιτῶν,
οὕτως ὥςπερ νῦν οὐδενὸς ἄξιος εἶ.

Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι·
οὐ γὰρ πηδαλίῳ πείθεται ὥςτ' ἄκατος,
οὐδ' ἄγκυραι ἔχουσιν· ἀποῤῥήξασα δὲ δεσμά
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

Μή ποτ' ἐπ' ἀπρήκτοισι νόον ἔχε, μηδὲ μενοίνα,
χρήμασι, τῶν ἄνυσις γίνεται οὐδεμία.

Εὐμαρέως τοι χρῆμα θεοὶ δόσαν οὔτε τι δειλὸν
οὔτ' ἀγαθόν· χαλεπῷ δ' ἔργματι κῦδος ἔπι.

Ἀμφ' ἀρετῇ τρίβου, καί σοι τὰ δίκαια φίλ' ἔστω,
μηδέ σε νικάτω κέρδος, ὅ, τ' αἰσχρὸν ἔῃ.

Μηδένα τῶνδ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν.
μηδὲ θύραζε κέλευ' οὐκ ἐθέλοντ' ἰέναι,
μήθ' εὕδοντ' ἐπέγειρε, Σιμωνίδη, ὃν τιν' ἂν ἡμῶν
θωρηχθέντ' οἴνῳ μαλθακὸς ὕπνος ἕλῃ,
μήτε τὸν ἀγρυπνέοντα κέλευ' ἀέκοντα καθεύδειν·
πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ·
τῷ πίνειν δ' ἐθέλοντι παρασταδὸν οἰνοχοείτω·
οὐ πάσας νύκτας γίνεται ἁβρὰ παθεῖν·
αὐτὰρ ἐγώ — μέτρον γὰρ ἔχω μελιηδέος οἴνου —
ὕπνου λυσικάκου μνήσομαι οἴκαδ' ἰών,
ἥξω δ' ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι·
οὔτε τι γὰρ νήφω, οὔτε λίην μεθύω.
ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτι κεῖνος
τῆς αὐτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου·
μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίνεται αἰσχρά·
αἰδεῖται δ' ἔρδων οὐδέν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος· ἀλλὰ σὺ ταῦτα
γινώσκων, μὴ πῖν' οἶνον ὑπερβολάδην,
ἀλλ' ἢ πρὶν μεθύειν ὑπανίστασο — μή σε βιάσθω
γαστήρ, ὥστε κακὸν λάτριν ἐφημέριον —,
ἢ παρεὼν μὴ πῖνε· σὺ δ' ἔγχεε τοῦτο μάταιον
κωτίλλεις αἰεί· τοὔνεκά τοι μεθύεις·
ἡ μὲν γὰρ φέρεται φιλοτήσιος, ἡ δὲ πρόκειται,
τὴν δὲ θεοῖς σπένδεις, τὴν δ' ἐπὶ χειρὸς ἔχεις·
ἀρνεῖσθαι δ' οὐκ οἶδας· ἀνίκητος δέ τοι οὗτος.
ὃς πολλὰς πίνων μή τι μάταιον ἐρεῖ.

Ὑμεῖς δ' εὖ μυθεῖσθε παρὰ κρητῆρι μένοντες,
ἀλλήλων ἔριδος δῆριν ἐρυκόμενοι,
ἐς τὸ μέσον φωνεῦντες ὁμῶς ἑνὶ καὶ συνάπασιν·
χοὔτως συμπόσιον γίνεται οὐκ ἄχαρι.

Ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος, ὅταν δὴ
πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γινώσκουσ᾽, ἀνδρὸς δ᾽ οἶνος ἔδειξε νόον,
καὶ μάλα περ πινυτοῦ, τὸν ὑπὲρ μέτρον ἤρατο πίνων,
ὥστε καταισχῦναι καὶ πρὶν ἐόντα σοφόν.

Οἰνοβαρέω κεφαλήν, Ὀνομάκριτε, καί με βιᾶται
οἶνος, ἀτὰρ γνώμης οὐκέτ᾽ ἐγὼ ταμίης
ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει· ἀλλ᾽ ἄγ᾽ ἀναστὰς
πειρηθῶ, μή πως καὶ πόδας οἶνος ἔχει
καὶ νόον ἐν στήθεσσι· δέδοικα δὲ μή τι μάταιον
ἔρξω θωρηχθεὶς καὶ μέγ᾽ ὄνειδος ἔχω.

Οἶνος πινόμενος πουλὺς κακόν· ἢν δέ τις αὐτόν
πίνῃ ἐπισταμένως, οὐ κακὸν ἀλλ᾽ ἀγαθόν.

Ἦλθες δή, Κλεάριστε, βαθὺν διὰ πόντον ἀνύσσας,
ἐνθάδ᾽ ἐπ᾽ οὐδὲν ἔχοντ᾽ ὦ τάλαν οὐδὲν ἔχων.
νηός τοι πλευρῇσιν ὑπὸ ζυγὰ θήσομεν ἡμεῖς,
Κλεάρισθ᾽, οἷ᾽ ἔχομεν χοἶα διδοῦσι θεοί.
τῶν δ᾽ ὄντων τἄριστα παρέξομεν· ἢν δέ τις ἔλθῃ
σεῦ φίλος ὤν, κατάκεισ᾽ ὡς φιλότητος ἔχεις.
οὔτε τι τῶν ὄντων ἀποθήσομαι, οὔτε τι μεῖζον
σῆς ἕνεκα ξενίης ἄλλοθεν οἰσόμεθα.
ἢν δέ τις εἰρωτᾷ τὸν ἐμὸν βίον, ὧδέ οἱ εἰπεῖν·
ὡς εὖ μὲν χαλεπῶς, ὡς χαλεπῶς δὲ μάλ᾽ εὖ,
ὥσθ᾽ ἕνα μὲν ξεῖνον πατρώϊον οὐκ ἀπολείπειν,
ξείνια δὲ πλεόνεσσ᾽ οὐ δυνατὸς παρέχειν.

Οὔ σε μάτην, ὦ Πλοῦτε, βροτοὶ τιμῶσι μάλιστα·
ἦ γὰρ ῥηϊδίως τὴν κακότητα φέρεις.

Καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν,
ἡ πενίη δὲ κακῷ σύμφορος ἀνδρὶ φέρειν.

Ὤ μοι ἐγὼν ἥβης καὶ γήραος οὐλομένοιο,
τοῦ μὲν ἐπερχομένου, τῆς δ᾽ ἀπονισομένης.

Οὐδένα πω προὔδωκα φίλον καὶ πιστὸν ἑταῖρον,
οὐδ' ἐν ἐμῇ ψυχῇ δούλιον οὐδὲν ἔνι.

Αἰεί μοι φίλον ἦτορ ἰαίνεται, ὁππότ' ἀκούσω
αὐλῶν φθεγγομένων ἱμερόεσσαν ὄπα.

Χαίρω δ' ἐμπίνων καὶ ὄπ' αὐλητῆρος ἀκούων,
χαίρω δ' εὔφθογγον χερσὶ λύρην ὀχέων.

Οὔ ποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
ἀλλ' αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.

Οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται οὐδ' ὑάκινθος,
οὔτε ποτ' ἐκ δούλης τέκνον ἐλευθέριον.

Οὗτος ἀνήρ, φίλε Κύρνε, πέδας χαλκεύεται αὐτῷ,
εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Δειμαίνω, μὴ τήνδε πόλιν, Πολυπαΐδη, ὕβρις,
ἥπερ Κενταύρους ὠμοφάγους ὄλεσεν.

Χρή με παρὰ στάθμην καὶ γνώμονα τήνδε δικάσσαι,
Κύρνε, δίκην, ἶσόν τ' ἀμφοτέροισι δόμεν,
μάντεσί τ' οἰωνοῖς τε καὶ αἰθομένοις ἱεροῖσιν,
ὄφρα μὴ ἀμπλακίης αἰσχρὸν ὄνειδος ἔχω.

Μηδένα πω κακότητι βιάζεο· τῷ δὲ δικαίῳ
τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.

Ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἐγείρει,
Κύρν', ἀπὸ τηλαυγέος φαινόμενος σκοπιῆς.
ἀλλ' ἵπποις ἔμβαλλε ταχυπτέρνοισι χαλινούς·
δήων γάρ σφ' ἀνδρῶν ἀντιάσειν δοκέω.
οὐ πολλὸν τὸ μεσηγύ· διαπρήξουσι κέλευθον,
εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Τολμᾶν χρὴ χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα,
πρός τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.

Φράζεο· κίνδυνός τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς·
ἄλλοτε πόλλ' ἕξεις, ἄλλοτε παυρότερα,
ὥστε σε μήτε λίην ἀφνεὸν κτεάτεσσι γενέσθαι,
μήτε σέ γ' ἐς πολλὴν χρημοσύνην ἐλάσαι.

Εἴη μοι τὰ μὲν αὐτὸν ἔχειν, τὰ δὲ πόλλ' ἐπιδοῦναι
χρήματα τῶν ἐχθρῶν τοῖσι φίλοισιν ἔχειν.

Κεκλῆσθαι δ' ἐς δαῖτα, παρέζεσθαι δὲ παρ' ἐσθλὸν
ἄνδρα χρεών, σοφίην πᾶσαν ἐπιστάμενον.
τοῦ συνιεῖν, ὁπόταν τι λέγῃ σοφόν, ὄφρα διδαχθῇς
καὶ τοῦτ' εἰς οἶκον κέρδος ἔχων ἀπίῃς.

Ἥβῃ τερπόμενος παίζω· δηρὸν γὰρ ἔνερθεν
γῆς ὀλέσας ψυχὴν κείσομαι ὥστε λίθος
ἄφθογγος, λείψω δ' ἐρατὸν φάος ἠελίοιο,
ἔμπης δ' ἐσθλὸς ἐὼν ὄψομαι οὐδὲν ἔτι.

Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον·
πολλοὶ ἀπείρητοι δόξαν ἔχουσ' ἀγαθῶν.

Εὖ ἔρδων εὖ πάσχε· τί κ' ἄγγελον ἄλλον ἰάλλοις;
τῆς εὐεργεσίης ῥηδίη ἀγγελίη.

Οἵ με φίλοι προδιδοῦσιν, ἐπεὶ τόν γ' ἐχθρὸν ἀλεῦμαι
ὥστε κυβερνήτης χοιράδας εἰναλίας.

Ῥήδιον ἐξ ἀγαθοῦ θεῖναι κακὸν ἢ 'κ κακοῦ ἐσθλόν.
μή με δίδασκ'· οὔ τοι τηλίκος εἰμὶ μαθεῖν.

Ἐχθαίρω κακὸν ἄνδρα, καλυψαμένη δὲ πάρειμι,
σμικρῆς ὄρνιθος κοῦφον ἔχουσα νόον.

Ἐχθαίρω δὲ γυναῖκα περίδρομον ἄνδρα τε μάργον,
ὃς τὴν ἀλλοτρίην βούλετ' ἄρουραν ἀροῦν.

Ἀλλὰ τὰ μὲν προβέβηκεν, ἀμήχανόν ἐστι γενέσθαι
ἀργά· τὰ δ' ἐξοπίσω, τῶν φυλακὴ μελέτω.

Πᾶσίν τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν
πῆ σχήσειν μέλλει πρήγματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας
ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν·
τῷ δὲ κακῶς ποιεῦντι θεὸς περὶ πάντα τίθησιν
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.

Τολμᾶν χρή, τὰ διδοῦσι θεοὶ θνητοῖσι βροτοῖσιν,
ῥηϊδίως δὲ φέρειν ἀμφοτέρων τὸ λάχος.

Μήτε κακοῖσιν ἀσῶ τι λίην φρένα, μήτ' ἀγαθοῖσιν
τερφθῇς ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.

Ἄνθρωπ' ἀλλήλοισιν ἀπόπροθεν ὦμεν ἑταῖροι·
πλὴν πλούτου παντὸς χρήματός ἐστι κόρος.

Δὴν δὴ καὶ φίλοι ὦμεν· ἀτάρ τ' ἄλλοισιν ὁμίλει
ἀνδράσιν, οἳ τὸν σὸν μᾶλλον ἴσασι νόον.

Οὔ μ' ἔλαθες φοιτῶν κατ' ἀμαξιτόν, ἣν ἄρα καὶ πρ
ἠλάστρεις, κλέπτων ἡμετέρην φιλίην.
ἔῤῥε, θεοῖσίν τ' ἐχθρὲ καὶ ἀνθρώποισιν ἄπιστε,
ψυχρὸν ὃς ἐν κόλπῳ ποικίλον εἶχες ὄφιν.

Τοιάδε καὶ Μάγνητας ἀπώλεσεν ἔργα καὶ ὕβρις,
οἷα τὰ νῦν ἱερὴν τήνδε πόλιν κατέχει.

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον.

Ἀρχῇ ἔπι ψεύδους μικρὴ χάρις· ἐς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακόν, ἀμφότερον,
γίνεται· οὐδέ τι καλόν, ὅτῳ ψεῦδος προσομαρτῇ
ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

Οὐ χαλεπὸν ψέξαι τὸν πλησίον, οὐδὲ μὲν αὐτὸν
αἰνῆσαι· δειλοῖς ἀνδράσι ταῦτα μέλει·

σιγᾶν δ' οὐκ ἐθέλουσι κακοὶ κακὰ λεσχάζοντες·
οἱ δ' ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν.

Οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα
τῶν νῦν ἀνθρώπων ἠέλιος καθορᾷ.

Οὔτι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται·
πολλῷ γὰρ θνητῶν κρέσσονες ἀθάνατοι.

Πόλλ' ἐν ἀμηχανίῃσι κυλίνδομαι ἀχνύμενος κῆρ·
ἄκρην γὰρ πενίης οὐχ ὑπερεδράμομεν.

Πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν·
πᾶσιν δ' ἀνθρώποις αὐτὸς ἔνεστι νόος.

Παντοῖαι κακότητες ἐν ἀνθρώποισιν ἔασιν,
παντοῖαι δ' ἀρεταὶ καὶ βιότου παλάμαι.

Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν
καὶ σιγᾶν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν.

Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφοσιν εἶναι,
αἰσχρὸν δ' εἰ νήφων παρ μεθύουσι μένει.

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρός,
πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Ὧι τινι μὴ θυμοῦ κρέσσων νόος, αἰὲν ἐν ἄταις,
Κύρνε, καὶ ἐν μεγάλαις κεῖται ἀμηχανίαις.

Βουλεύου δὶς καὶ τρίς, ὅ τοί κ' ἐπὶ τὸν νόον ἔλθῃ·
ἀτηρὸς γάρ τοι λάβρος ἀνὴρ τελέθει.

Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς·
οἳ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι.

Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖοι·
 οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.

Πολλάκι παρ δόξαν τε καὶ ἐλπίδα γίνεται εὖ ῥεῖν
 ἔργ' ἀνδρῶν, βουλαῖς δ' οὐκ ἐπέγεντο τέλος.

Οὔ τοί κ' εἰδείης οὔτ' εὔνουν οὔτε τὸν ἐχθρόν,
 εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχοις.

Πολλοὶ παρ κρητῆρι φίλοι γίνονται ἑταῖροι,
 ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους
 κείμενος ἐν μεγάλῃ θυμὸν ἀμηχανίῃ.

Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
 αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται.

Ἆ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις
 σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον;
αἰσχρὰ δέ μ' οὐκ ἐθέλοντα βίῃ κακὰ πολλὰ διδάσκεις,
 ἐσθλὰ μετ' ἀνθρώπων καὶ κάλ' ἐπιστάμενον.

Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισιν,
 Κύρν'· ἀρετῆς δ' ἄλλης οὐδεμιῆς ἔραμαι.

Σὺν σοί, Κύρνε, παθόντι κακῶς ἀνιώμεθα πάντες·
 ἀλλά τοι ἀλλότριον κῆδος ἐφημέριον.

Μηδὲν ἄγαν χαλεποῖσιν ἀσῶ φρένα μηδ' ἀγαθοῖσιν
 χαῖρ', ἐπεὶ ἔστ' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ.

Οὐδ' ὀμόσαι χρὴ τοῦθ', ὅτι μήποτε πρῆγμα τόδ' ἔσται·
 θεοὶ γάρ τε νεμεσῶσ', οἷσιν ἔπεστι τέλος·
καὶ πρῆξαι μέντοι τι· καὶ ἐκ κακοῦ ἐσθλὸν ἔγεντο,
 καὶ κακὸν ἐξ ἀγαθοῦ· καί τε πενιχρὸς ἀνὴρ
αἶψα μάλ' ἐπλούτησε· καὶ ὃς μάλα πολλὰ πέπαται,
 ἐξαπίνης πάντ' οὖν ὤλεσε νυκτὶ μιῇ.

καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
ἕσπετο, καὶ τιμῆς καὶ κακὸς ὢν ἔλαχεν.

Εἰ μὲν χρήματ' ἔχοιμι, Σιμωνίδη, οἶά περ ᾔδειν,
οὐκ ἂν ἀνιῴμην τοῖς ἀγαθοῖσι συνών·
νῦν δέ με γινώσκοντα παρέρχεται, εἰμὶ δ' ἄφωνος
χρημοσύνῃ, πολλῶν γνοὺς περ ἄμεινον ἔτι,
οὕνεκα νῦν φερόμεσθα καθ' ἱστία λευκὰ βαλόντες
Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν·
ἀντλεῖν δ' οὐκ ἐθέλουσιν· ὑπερβάλλει δὲ θάλασσα
ἀμφοτέρων τοίχων· ἦ μάλα τις χαλεπῶς
σώζεται· οἱ δ' ἕρδουσι· κυβερνήτην μὲν ἔπαυσαν
ἐσθλόν, ὅ τις φυλακὴν εἶχεν ἐπισταμένως·
χρήματα δ' ἁρπάζουσι βίῃ, κόσμος δ' ἀπόλωλεν,
δασμὸς δ' οὐκέτ' ἴσος γίνεται ἐς τὸ μέσον,
φορτηγοὶ δ' ἄρχουσι, κακοὶ δ' ἀγαθῶν καθύπερθεν.
δειμαίνω, μή πως ναῦν κατὰ κῦμα πίῃ.
ταῦτά μοι ᾐνίχθω κεκρυμμένα τοῖς ἀγαθοῖσιν·
γινώσκοι δ' ἄν τις καὶ κακός, ἢν σοφὸς ᾖ.

Πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριες· οἱ δὲ τὰ καλὰ
ζητοῦσιν χαλεπῇ τειρόμενοι πενίῃ.
ἕρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται·
εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

Οὐκ ἔστιν θνητοῖσι πρὸς ἀθανάτους μαχέσασθαι
οὐδὲ δίκην εἰπεῖν· οὐδενὶ τοῦτο θέμις.

Οὐ χρὴ πημαίνειν ὅ τι μὴ πημαντέον εἴη,
οὐδ' ἕρδειν ὅ τι μὴ λώϊον ᾖ τελέσαι.

Χαίρων εὖ τελέσειας ὁδὸν μεγάλου διὰ πόντου,
καί σε Ποσειδάων χάρμα φίλοις ἀγάγοι.

Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφραίνοντας·
γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ' ἐσθλὰ παρῇ.

Οὐ δύναμαί σοι, θυμέ, παρασχεῖν ἄρμενα πάντα·
τέτλαθι· τῶν δὲ καλῶν οὔτι σὺ μοῦνος ἐρᾷς.

Εὖ μὲν ἔχοντος ἐμοῦ πολλοὶ φίλοι· ἢν δέ τι δεινὸν
  συγκύρσῃ, παῦροι πιστὸν ἔχουσι νόον.

Πλήθει δ' ἀνθρώπων ἀρετὴ μία γίνεται ἥδε,
  πλουτεῖν· τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος,
οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ,
  πλείονα δ' εἰδείης Σισύφου Αἰολίδεω,
ὅςτε καὶ ἐξ Ἀΐδεω πολυϊδρίῃσιν ἀνῆλθεν,
  πείσας Περσεφόνην αἱμυλίοισι λόγοις,
ἥτε βροτοῖς παρέχει λήθην, βλάπτουσα νόοιο —
  ἄλλος δ' οὔπω τις τοῦτό γ' ἐπεφράσατο,
ὅντινα δὴ θανάτοιο μέλαν νέφος ἀμφικαλύψῃ,
  ἔλθῃ δ' ἐς σκιερὸν χῶρον ἀποφθιμένων,
κυανέας τε πύλας παραμείψεται, αἵτε θανόντων
  ψυχὰς εἴργουσιν καίπερ ἀναινομένας·
ἀλλ' ἄρα καὶ κεῖθεν πάλιν ἤλυθε Σίσυφος ἥρως
  ἐς φάος ἠελίου σφῇσι πολυφροσύναις· —
οὐδ' εἰ ψεύδεα μὲν ποιοῖς ἐτύμοισιν ὁμοῖα,
  γλῶσσαν ἔχων ἀγαθὴν Νέστορος ἀντιθέου,
ὠκύτερος δ' εἴησθα πόδας ταχεῶν Ἁρπυιῶν
  καὶ παίδων Βορέω, τῶν ἄφαρ εἰσὶ πόδες.
ἀλλὰ χρὴ πάντας γνώμην ταύτην καταθέσθαι,
  ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Ἶσόν τοι πλουτοῦσιν, ὅτῳ πολὺς ἄργυρός ἐστιν
  καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία
ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ τὰ δέοντα πάρεστιν,
  γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν,
παιδός τ' ἠδὲ γυναικός· ὅταν δέ κε τῶν ἀφίκηται
  ὥρῃ, σὺν δ' ἥβῃ γίνεται ἁρμοδία,
ταῦτ' ἄφενος θνητοῖσι· τὰ γὰρ περιώσια πάντα
  χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀΐδεω,
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας
  νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

Φροντίδες ἀνθρώπων ἔλαχον πτερὰ ποικίλ' ἔχουσαι,
  μυρόμεναι ψυχῆς εἵνεκα καὶ βιότου.

Ζεῦ πάτερ, εἴθε γένοιτο θεοῖς φίλα τοῖς μὲν ἀλιτροῖς
  ὕβριν ἁδεῖν, καί σφιν τοῦτο γένοιτο φίλον

θυμῷ, σχέτλια ἔργα μετὰ φρεσὶν ὅστις ἀθειρής
  ἐργάζοιτο, θεῶν μηδὲν ὀπιζόμενος,
αὐτὸν ἔπειτα πάλιν τῖσαι κακά, μηδέ τ' ὀπίσσω
  πατρὸς ἀτασθαλίαι παισὶ γένοιντο κακόν·
παῖδες δ', οἵτ' ἀδίκου πατρὸς τὰ δίκαια νοεῦντες
  ποιῶσιν, Κρονίδη, σὸν χόλον ἁζόμενοι,
ἐξ ἀρχῆς τὰ δίκαια μετ' ἀστοῖσιν φιλέοντες,
  μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων.
ταῦτ' εἴη μακάρεσσι θεοῖς φίλα· νῦν δ' ὁ μὲν ἔρδων
  ἐκφεύγει, τὸ κακὸν δ' ἄλλος ἔπειτα φέρει.

Καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστὶ δίκαιον,
  ἔργων ὅστις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων,
μή τιν' ὑπερβασίην κατέχων μηδ' ὅρκον ἀλιτρόν,
  ἀλλὰ δίκαιος ἐὼν μὴ τὰ δίκαια πάθῃ;
τίς δή κεν βροτὸς ἄλλος, ὁρῶν πρὸς τοῦτον, ἔπειτα
  ἅζοιτ' ἀθανάτους, καὶ τίνα θυμὸν ἔχων,
ὁππότ' ἀνὴρ ἄδικος καὶ ἀτάσθαλος, οὔτε τευ ἀνδρῶν
  οὔτε τευ ἀθανάτων μῆνιν ἀλευόμενος,
ὑβρίζῃ πλούτῳ κεκορημένος, οἱ δὲ δίκαιοι
  τρύχονται χαλεπῇ τειρόμενοι πενίῃ;

Ταῦτα μαθών, φίλ' ἑταῖρε, δικαίως χρήματα ποιοῦ,
  σώφρονα θυμὸν ἔχων ἐκτὸς ἀτασθαλίης,
αἰεὶ τῶνδ' ἐπέων μεμνημένος· ἐς δὲ τελευτήν
  αἰνήσεις μύθῳ σώφρονι πειθόμενος.

Ζεὺς μὲν τῆσδε πόληος ὑπειρέχοι, αἰθέρι ναίων,
  αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀπημοσύνῃ,
ἄλλοι τ' ἀθάνατοι μάκαρες θεοί· αὐτὰρ Ἀπόλλων
  ὀρθώσαι γλῶσσαν καὶ νόον ἡμέτερον.
φόρμιγξ δ' αὖ φθέγγοιθ' ἱερὸν μέλος ἠδὲ καὶ αὐλός·
  ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσσάμενοι
πίνωμεν, χαρίεντα μετ' ἀλλήλοισι λέγοντες,
  μηδὲν τὸν Μήδων δειδιότες πόλεμον.
ὧδ' εἴη κεν ἄμεινον· εὔφρονα θυμὸν ἔχοντας
  νόσφι μεριμνάων εὐφροσύνως διάγειν
τερπομένους, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι,
  γῆράς τ' οὐλόμενον καὶ θανάτοιο τέλος.

Χρὴ Μουσῶν θεράποντα καὶ ἄγγελον, εἴ τι περισσὸν
εἰδείη, σοφίης μὴ φθονερὸν τελέθειν,
ἀλλὰ τὰ μὲν μῶσθαι, τὰ δὲ δεικνύναι, ἄλλα δὲ ποιεῖν·
τί σφιν χρήσηται μοῦνος ἐπιστάμενος;

Φοῖβε ἄναξ, αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην,
Ἀλκαθόῳ Πέλοπος παιδὶ χαριζόμενος·
αὐτὸς δὲ στρατὸν ὑβριστὴν Μήδων ἀπέρυκε
τῆςδε πόλευς, ἵνα σοι λαοὶ ἐν εὐφροσύνῃ
ἦρος ἐπερχομένου κλειτὰς πέμπωσ' ἑκατόμβας,
τερπόμενοι κιθάρῃ καὶ ἐρατῇ θαλίῃ,
παιάνων τε χοροῖς ἰαχῇσί τε σὸν περὶ βωμόν.
ἦ γὰρ ἔγωγε δέδοικ' ἀφραδίην ἐσορῶν
καὶ στάσιν Ἑλλήνων λαοφθόρον· ἀλλὰ σύ, Φοῖβε,
ἵλαος ἡμετέρην τήνδε φύλασσε πόλιν.

Ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς Σικελήν ποτε γαῖαν,
ἦλθον δ' Εὐβοίης ἀμπελόεν πεδίον
Σπάρτην τ' Εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ·
καί μ' ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον·
ἀλλ' οὔτις μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων.
οὕτως οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρης.

Μή ποτέ μοι μελέδημα νεώτερον ἄλλο φανείη
ἀντ' ἀρετῆς σοφίης τ', ἀλλὰ τόδ' αἰὲν ἔχων
τερποίμην φόρμιγγι καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ,
καὶ μετὰ τῶν ἀγαθῶν ἐσθλὸν ἔχοιμι νόον,
μήτε τινὰ ξείνων δηλεύμενος ἔργμασι λυγροῖς
μήτε τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐών.

Τὴν σαυτοῦ φρένα τέρπε· δυςηλεγέων δὲ πολιτῶν
ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ·
τῶν δὲ κακῶν μνήμη γίνεται οὐδεμία.

Ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίνεται οὐδείς·
ἀλλ' ὃς λώϊος, ὃς μὴ πλεόνεσσι μέλοι.

Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται οὔτε πέφυκεν,
ὅςτις πᾶσιν ἁδὼν δύσεται εἰς Ἀΐδεω·
οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἁδεῖν δύναται.

Τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρόν
εὐθύτερον χρῆμεν, Κύρνε, φυλασσέμεναι,
ᾧ τινί κεν Πυθῶνι θεοῦ χρήσασ' ἱέρεια
ὀμφὴν σημήνῃ πίονος ἐξ ἀδύτου·
οὔτε τι γὰρ προςθεὶς οὐδέν κ' ἔτι φάρμακον εὕροις,
οὔτ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις.

Χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος οὔτι κάκιον,
τῶν δ' ἄλλων πάντων, Κύρν', ἀνιηρότατον·
οἵ με φίλοι προὔδωκαν· ἐγὼ δ' ἐχθροῖσι πελασθείς
εἰδήσω καὶ τῶν ὅντιν' ἔχουσι νόον.

Βοῦς μοι ἐπὶ γλώσσῃ κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων
ἴσχει κωτίλλειν καίπερ ἐπιστάμενον.

Κύρν', ἔμπης ὅ τι μοῖρα παθεῖν, οὐκ ἔσθ' ὑπαλύξαι·
ὅ ττι δὲ μοῖρα παθεῖν, οὔτι δέδοικα παθεῖν.

Ἐς πολυάρητον κακὸν ἥκομεν, ἔνθα μάλιστα,
Κύρνε, συναμφοτέρους μοῖρα λάβοι θανάτου.

Οἳ δ' ἀπὸ γηράσκοντας ἀτιμάζουσι τοκῆας,
τούτων τοι χώρη, Κύρν', ὀλίγη τελέθει.

Μήτε τιν' αὖξε τύραννον ἐπ' ἐλπίδι, κέρδεσιν εἴκων,
μήτε κτεῖνε θεῶν ὅρκια συνθέμενος.

Πῶς ὑμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδειν
θυμός; γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,
ἥτε τρέφει καρποῖσιν ἐν εἰλαπίναις φορέοντας
ξανθῇσίν τε κόμαις πορφυρέους στεφάνους.
ἀλλ' ἄγε δή, Σκύθα, κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον,
πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.

Πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δ' ἐσάωσα·
γνώμη δ' ἀργαλέη γίνεται ἀμφοτέρων.

Πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθόρῳ· οὐδέ τις ἡμῖν
αἴτιος ἀθανάτων, Κύρνε, θεῶν μακάρων,
ἀλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα δειλὰ καὶ ὕβρις
πολλῶν ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλεν.

Δισσαί τοι πόσιος κῆρες δειλοῖσι βροτοῖσιν,
δίψα τε λυσιμελὴς καὶ μέθυσις χαλεπή·
τούτων δ' ἂν τὸ μέσον στρωφήσομαι, οὐδέ με πείσεις
οὔτε τι μὴ πίνειν οὔτε λίην μεθύειν.

Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ' ἀχάριστον,
εὖτ' ἂν θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγῃ.

Ἀλλ' ὁπόταν καθύπερθεν ἐὼν ὑπένερθε γένηται,
τουτάκις οἴκαδ' ἴμεν παυσάμενοι πόσιος.

Εὖ μὲν κείμενον ἄνδρα κακῶς θέμεν εὐμαρές ἐστιν,
εὖ δὲ θέμεν τὸ κακῶς κείμενον ἀργαλέον.

Λὰξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
ὀξέϊ, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει·
οὐ γὰρ ἔθ' εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

Ζεὺς ἄνδρ' ἐξολέσειεν Ὀλύμπιος, ὃς τὸν ἑταῖρον
μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει.

Ἤιδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώϊα δὴ νῦν,
οὕνεκα τοῖς δειλοῖς οὐδεμί' ἔστι χάρις.

Πολλάκι δὴ πόλις ἥδε δι' ἡγεμόνων κακότητα
ὥσπερ κεκλιμένη ναῦς παρὰ γῆν ἔδραμεν.

Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δειλὸν ἔχοντα,
αὐχέν' ἀποστρέψας οὐδ' ἐσορᾶν ἐθέλει·

ἢν δέ τί μοί ποθεν ἐσθλόν, ἃ παυράκι γίνεται ἀνδρί,
πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω.

Οἵ με φίλοι προδιδοῦσι, καὶ οὐκ ἐθέλουσί τι δοῦναι
ἀνδρῶν φαινομένων· ἀλλ' ἐγὼ αὐτομάτη
ἑσπερίη τ' ἔξειμι καὶ ὀρθρίη αὖτις ἔςειμι,
ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων.

Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
ἐσθλόν, ὃς οὔτ' αὐτῷ βέλτερος οὐδὲν ἐὼν
οὔτε φίλοις· ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται·
αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ.

Ἔν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν
χάλκεος, ἀνθρώπων δεῖμα χαμαιγενέων,
εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω οἵ με φιλεῦσιν,
τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.

Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι· οὐδέ σε πάμπαν
οὔτε ποτ' ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι.
ἐσθλὸν καὶ κακόν ἐσσι. τίς ἂν σέ γε μωμήσαιτο;
τίς δ' ἂν ἐπαινήσαι μέτρον ἔχων σοφίης;

Ἥβα μοι, φίλε θυμέ· τάχ' αὖ τινὲς ἄλλοι ἔσονται,
ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

Πῖν' οἶνον, τὸν ἐμοὶ κορυφῆς ἄπο Τηϋγέτοιο
ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ' ὁ γέρων
οὔρεος ἐν βήσσῃσι, θεοῖσι φίλος Θεότιμος,
ἐκ πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων.
τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδῶνας,
θωρηχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφροτέρως.

Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν, ὄφρα μετ' ἄλλων
κωμάζοιμι· κακοῦ δ' οὐκ ἔραμαι πολέμου.

Μηδὲ λίην κήρυκος ἀν' οὖς ἔχε μακρὰ βοῶντος·
οὐ γὰρ πατρῴας γῆς πέρι μαρνάμεθα.

Ἀλλ' αἰσχρὸν παρεόντα καὶ ὠκυπόδων ἐπιβάντα
ἵππων μὴ πόλεμον δακρυόεντ' ἐσιδεῖν.

Οἴ μοι ἀναλκίης· ἀπὸ μὲν Κήρινθος ὄλωλεν,
Ληλάντου δ' ἀγαθὸν κείρεται οἰνόπεδον,
οἱ δ' ἀγαθοὶ φεύγουσι, πόλιν δὲ κακοὶ διέπουσιν.
ὡς δὴ Κυψελιδέων Ζεὺς ὀλέσειε γένος.

Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει αὐτὸς ἐν αὐτῷ,
οὐδ' ἀγνωμοσύνης, Κύρν', ὀδυνηρότερον.

Κύρν', εἰ πάντ' ἄνδρεσσι καταθνητοῖς χαλεπαίνειν,
γινώσκων ὡς νοῦν οἷον ἕκαστος ἔχει
ἐντὸς ἐνὶ στήθεσσι, καὶ ἔργματα τῷ τε δικαίῳ
τῷ τ' ἀδίκῳ, μέγα κεν πῆμα βροτοῖσιν ἐπῆν.

Ἔστιν ὁ μὲν χείρων, ὁ δ' ἀμείνων ἔργον ἕκαστον·
οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

Ὅστις ἀνάλωσιν τηρεῖ κατὰ χρήματα θηρῶν,
κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
εἰ μὲν γὰρ κατιδεῖν βιότου τέλος ἦν, ὁπόσον τις
[illegible]λλ' ἐκτελέσας εἰς Ἀΐδαο περᾶν,
[illegible] ἂν ἦν, ὃς μὲν πλείω χρόνον αἶσαν ἔμιμνεν,
φείδεσθαι μᾶλλον τοῦτον ὃν εἶχε βίον·
νῦν δ' οὐκ ἔστιν. ὃ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄρωρεν,
καὶ δάκνομαι ψυχήν, καὶ δίχα θυμὸν ἔχω,
ἐν τριόδῳ δ' ἕστηκα. δύ' εἰσὶν πρόσθεν ὁδοί μοι·
φροντίζω τούτων ἥντιν' ἴω προτέρην·
ἢ μηδὲν δαπανῶν τρύχω βίον ἐν κακότητι,
ἢ ζώω τερπνῶς ἔργα τελῶν ὀλίγα.
εἶδον μὲν γὰρ ἔγωγ', ὃς ἐφείδετο, κοὔποτε γαστρί
σῖτον ἐλευθέριον πλούσιος ὢν ἐδίδου·
ἀλλὰ πρὶν ἐκτελέσαι κατέβη δόμον Ἄϊδος εἴσω,
χρήματα δ' ἀνθρώπων οὐπιτυχὼν ἔλαβεν,
ὥστ' ἐς ἄκαιρα πονεῖν καὶ μὴ δόμεν ᾧ κ' ἐθέλῃ τις.
εἶδον δ' ἄλλον, ὃς ῇ γαστρὶ χαριζόμενος
χρήματα μὲν διέτριψεν, ἔφη δ' „ὑπάγω φρένα τέρψας"
πτωχεύει δὲ φίλους πάντας, ὅπου τιν' ἴδῃ.

Οὕτω, Δημόκλεις, κατὰ χρήματ' ἄριστον ἁπάντων
τὴν δαπάνην θέσθαι καὶ μελέτην ἐχέμεν.
οὔτε γὰρ ἂν προκαμὼν ἄλλῳ κάματον μεταδοίης,
οὔτ' ἂν πτωχεύων δουλοσύνην τελέοις·
οὐδ' εἰ γῆρας ἵκοιο, τὰ χρήματα πάντ' ἀποδραίη.
ἐν δὲ τοιῷδε γένει χρήματ' ἄριστον ἔχειν.
ἢν μὲν γὰρ πλουτῇς, πολλοὶ φίλοι, ἢν δὲ πένηαι,
παῦροι, κοὐκέθ' ὁμῶς αὐτὸς ἀνὴρ ἀγαθός.

Φείδεσθαι μὲν ἄμεινον, ἐπεὶ οὐδὲ θανόντ' ἀποκλαίει
οὐδείς, ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.

Παύροις ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ·
ὄλβιος, ὃς τούτων ἀμφοτέρων ἔλαχεν.

Πάντες μιν τιμῶσιν· ὁμῶς νέοι οἵ τε κατ' αὐτόν
χώρης εἴκουσιν, τοί τε παλαιότεροι.
γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτόν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.

Οὐ δύναμαι φωνῇ λίγ' ἀειδέμεν ὥσπερ ἀηδών·
καὶ γὰρ τὴν προτέρην νύκτ' ἐπὶ κῶμον ἔβην.
οὐδὲ τὸν αὐλητὴν προφασίζομαι· ἀλλά μ' ἑταῖρος
ἐκλείπει, σοφίης οὐκ ἐπιδευόμενος.

Ἐγγύθεν αὐλητῆρος ἀείσομαι ὧδε καταστάς
δεξιός, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.

Εἶμι παρὰ στάθμην ὀρθὴν ὁδόν, οὐδετέρωσε
κλινόμενος· χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν.

Πατρίδα κοσμήσω, λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμῳ
τρέψας οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.

Νεβρὸν ὑπὲξ ἐλάφοιο λέων ὣς ἀλκὶ πεποιθώς
ποσσὶ καταμάρψας αἵματος οὐκ ἔπιον·
τειχέων δ' ὑψηλῶν ἐπιβὰς πόλιν οὐκ ἀλάπαξα·
ζευξάμενος δ' ἵππους ἅρματος οὐκ ἐπέβην·
πρήξας δ' οὐκ ἔπρηξα, καὶ οὐκ ἐτέλεσσα τελέσσας·
δρήσας δ' οὐκ ἔδρησ', ἤνυσα δ' οὐκ ἀνύσας.

Δειλοὺς εὖ ἔρδοντι δύω κακά· τῶν τε γὰρ αὐτοῦ
χηρώσει πολλῶν, καὶ χάρις οὐδεμία.

Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας,
χρήζων ἡμετέρους αὖτις ἵκοιο δόμους.

Ἔστε μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου,
ἡδύ τί μοι ἐδόκει καὶ καλὸν εἶμεν ὕδωρ·
νῦν δ' ἤδη τεθόλωται, ὕδωρ δ' ἀναμίσγεται ἰλυῖ,
ἄλλης δὴ κρήνης πίομαι ἢ ποταμοῦ.

Μή ποτ' ἐπαινήσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνέως,
ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅςτις ἂν ᾖ.
πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες
κρύπτουσ', ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντως χρόνος ἦθος ἑκάστου.
καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην·
ἔφθην αἰνήσας πρίν σου κατὰ πάντα δαῆναι
ἤθεα. νῦν δ' ἤδη ναῦς ἅθ' ἑκὰς διέχω.

Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι;
πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.

Οὐδεὶς ἀνθρώπων, ὃν πρῶτ' ἐπὶ γαῖα καλύψῃ
[illegible] τ' Ἔρεβος καταβῇ, δώματα Περσεφόνης,
τέρπεται οὔτε λύρης οὔτ' αὐλητῆρος ἀκούων,
οὔτε Διωνύσου δῶρ' ἐςαειράμενος.
ταῦτ' ἐςορῶν κραδίην εὖ πείσομαι, ὄφρα τ' ἐλαφρά
γούνατα καὶ κεφαλὴν ἀτρεμέως προφέρω.

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ.
χερσίν τε σπεύδου χρήμασί τ', ἀμφότερα·
μηδὲ παρὰ κρητῆρι λόγοισιν ἐμὴν φρένα θέλγοις,
ἀλλ' ἔρδων φαίνοι', εἴ τι δύναι', ἀγαθόν.

Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν,
ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.
αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸς ἥβη·
οὐδ' ἵππων ὁρμὴ γίνεται ὠκυτέρη,
αἵτε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
λάβρως, πυροφόρῳ τερπόμεναι πεδίῳ.

Πίν᾽ ὁπόταν πίνωσιν· ὅταν δέ τι θυμὸν ἀσηθῇς,
μηδεὶς ἀνθρώπων γνῷ σε βαρυνόμενον.

Ἄλλοτέ τοι πάσχων ἀνιήσεαι, ἄλλοτε δ᾽ ἔρδων
χαιρήσεις· δύναται δ᾽ ἄλλοτε ἄλλος ἀνήρ.

Εἰ θείης, Ἀκάδημε, ἐφίμερον ὕμνον ἀείδειν,
ἆθλον δ᾽ ἐν μέσσῳ παῖς καλὸν ἄνθος ἔχων
σοί τ᾽ εἴη καὶ ἐμοὶ σοφίης πέρι δηρισάντοιν,
γνοίης χ᾽ ὅσσον ὄνων κρέσσονες ἡμίονοι.

Τῆμος δ᾽ ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
ἄρτι παραγγέλλοι μέσσατον ἦμαρ ἔχων,
δείπνου δὴ λήγοιμεν, ὅπου τινὰ θυμὸς ἀνώγοι,
παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.
χέρνιβα δ᾽ αἶψα θύραζε φέροι, στεφανώματα δ᾽ εἴσω
εὐειδὴς ῥαδιναῖς χερσὶ Λάκαινα κόρη.

Ἥδ᾽ ἀρετή, τόδ᾽ ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ σοφῷ·
ξυνὸν δ᾽ ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ.

Ξυνὸν δ᾽ ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβης
ἀγλαὸν ἄνθος ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῇ,
τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν· οὐ γὰρ ἀνηβᾶν
δὶς πέλεται πρὸς θεῶν οὐδὲ λύσις θανάτου
θνητοῖς ἀνθρώποισι. κακὸν δ᾽ ἐπὶ γῆρας ἐλέγχει
οὐλόμενον, κεφαλῆς δ᾽ ἅπτεται ἀκροτάτης.

Ἆ μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅςτις ἄπειρος
ἄθλων εἰς Ἀΐδεω δῶμα μέλαν καταβῇ,
πρίν τ᾽ ἐχθροὺς πτῆξαι καὶ ὑπερβῆναί περ ἀνάγκῃ,
ἐξετάσαι τε φίλους, ὅντιν᾽ ἔχουσι νόον.

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιῶμαι δ᾽ ἐςορῶν ἄνθος ὁμηλικίης
τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι·
ἀλλ᾽ ὀλιγοχρόνιον γίνεται ὥςπερ ὄναρ

ἥβη τιμήεσσα· τὸ δ' οὐλόμενον καὶ ἄμορφον
  αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται.

Οὔποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
  δύςλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρῃ.

Δειλοί τοι κακότητι ματαιότεροι νόον εἰσίν,
  τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηϊδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος·
  τοῦ δ' ἀγαθοῦ χαλεπή, Κύρνε, πέλει παλάμη.

Τόλμα θυμὲ κακοῖσιν ὅμως ἄτλητα πεπονθώς·
  δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη,
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
  ὄχθει, μηδ' ἄχθου, μηδὲ φίλους ἀνία,
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
  οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
  οὔθ' ὅταν αὐτὸν ἔχῃ Τάρταρος ἠερόεις.

Ἄνδρα τοί ἐστ' ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι,
  ὡς ἐν ἐμοὶ γνώμῃ, Κύρνε, πάλαι κέκριται.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτινες οἶνον
  μὴ πίνουσ' ἄστρου καὶ κυνὸς ἀρχομένου.

Δεῦρο σὺν αὐλητῆρι· παρὰ κλαίοντι γελῶντες
  πίνωμεν, κείνου κήδεσι τερπόμενοι,

Εὕδωμεν· φυλακὴ δὲ πόλευς φυλάκεσσι μελήσει
  ἀστυφέλης ἐρατῆς πατρίδος ἡμετέρης.

Ναὶ μὰ Δί', εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει,
  ἡμέτερον κῶμον δέξεται ἁρπαλέως.

Νῦν μὲν πίνοντες τερπώμεθα, καλὰ λέγοντες·
  ἅσσα δ' ἔπειτ' ἔσται, ταῦτα θεοῖσι μέλει.

Σοὶ δ' ἐγὼ οἶά τε παιδὶ πατὴρ ὑποθήσομαι αὐτός
  ἐσθλά· σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλευ·
μή ποτ' ἐπειγόμενος πρήξῃς κακόν, ἀλλὰ βαθείῃ
  σῇ φρενὶ βούλευσαι σῷ τ' ἀγαθόν τι νόῳ.
τῶν γὰρ μαινομένων πέτεται θυμός τε νόος τε,
  βουλὴ δ' εἰς ἀγαθὸν καὶ νόον ἐσθλὸν ἄγει.

Ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν, αὐτὰρ ἐμοὶ σύ
  αὔλει, καὶ Μουσῶν μνησόμεθ' ἀμφότεροι.
αὗται γὰρ τάδ' ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα
  σοὶ καὶ ἐμοὶ καὶ μὴν ἀμφιπερικτίοσιν.

Τιμαγόρα, πολλῶν ὀργὴν ἀπάτερθεν ὁρῶντι
  γινώσκειν χαλεπόν, καίπερ ἐόντι σοφῷ.
οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσιν
  πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

Ἐν δ' ἥβῃ πάρα μὲν ξὺν ὁμήλικι πάννυχον εὕδειν,
  ἱμερτῶν ἔργων ἐξ ἔρον ἱέμενον,
ἔστι δὲ κωμάζοντα μετ' αὐλητῆρος ἀείδειν.
  τούτων οὐδέν τοι ἄλλ' ἔπι τερπνότερον
ἀνδράσιν ἠδὲ γυναιξί· τί μοι πλοῦτός τε καὶ αἰδώς;
  τερπωλὴ νικᾷ πάντα σὺν εὐφροσύνῃ.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτε θανόντας
  κλαίουσ', οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.

Κύρνε, φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος
  συμμίσγων ὀργὴν οἷος ἕκαστος ἔφυ.
νῦν μὲν τῷδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος πέλευ ὀργήν·
  κρεῖσσόν τοι σοφίη καὶ μεγάλης ἀρετῆς.

Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτήν
  γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι·
ὄρφνη γὰρ τέταται· πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι
  οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.

Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος.

Οὕτω χρὴ τόν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα
ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.

Δημῶναξ, σὺ δὲ πολλὰ φέρεις βαρύ· οὐ γὰρ ἐπίστῃ
τοῦθ' ἔρδειν, ὅ τι σοι μὴ καταθύμιον ᾖ.

Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ
ναίετ' ἐπ' Εὐρώτα καλλιρόῳ ποταμῷ,
εἴ ποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι·
εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·
οὔτε γὰρ ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι,
γινώσκων χαλεπὸν μέν, ὅταν φίλος ἀνδρὶ γένηται,
ἐχθαίρειν, χαλεπὸν δ' οὐκ ἐθέλοντα φιλεῖν.

Σκέπτεο δὴ νῦν ἄλλον, ἐμοί γε μὲν οὔτις ἀνάγκη
τοῦθ' ἔρδειν, τῶν μοι πρόσθε χάριν τίθεσο.

Ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι ὥστε πετεινὸν
ἐκ λίμνης μεγάλης, ἄνδρα κακὸν προφυγών,
βρόγχον ἀποῤῥήξας· σὺ δ' ἐμῆς φιλότητος ἁμαρτὼν
ὕστερον ἡμετέρην γνώσῃ ἐπιφροσύνην.

Ὅςτις σοι βούλευσεν ἐμεῦ πέρι, καί σ' ἐκέλευσεν
οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην.

Ὕβρις καὶ Μάγνητας ἀπώλεσε καὶ Κολοφῶνα
καὶ Σμύρνην. πάντως, Κύρνε, καὶ ὔμμ' ἀπολεῖ.

Εἰς βάσανον δ' ἐλθὼν παρατριβόμενός τε μολίβδῳ
χρυσὸς ἄπεφθος ἐὼν καλὸς ἅπασιν ἔσῃ.

Ὤ μοι ἐγὼ δειλός· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,
τοῖς δὲ φίλοισι πόνος δεινὰ παθὼν γενόμην.

Κύρν', οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἱ δὲ κακοὶ πρὶν
νῦν ἀγαθοί· τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,
τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
τιμῆς; μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν,
οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

Χρήματ' ἔχων πενίην μοι ὀνείδισας· ἀλλὰ τὰ μέν μοι
ἔστι, τὰ δ' ἐργάσομαι θεοῖσιν ἐπευξάμενος.

Πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων,
σὺν σοὶ καὶ κακὸς ὢν γίνεται ἐσθλὸς ἀνήρ.

Ἥβης μέτρον ἔχοιμι, φιλοῖ δέ με Φοῖβος Ἀπόλλων
Λητοΐδης καὶ Ζεύς, ἀθανάτων βασιλεύς,
ὄφρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων,
ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος.

Μή με κακῶν μίμνησκε· πέπονθά τοι οἷά τ' Ὀδυσσεύς,
ὅστ' Ἀΐδεω μέγα δῶμ' ἤλυθεν ἐξαναδύς,
ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλέϊ θυμῷ
Πηνελόπης ἔμφρων, κουριδίης ἀλόχου,
ἥ μιν δήθ' ὑπέμεινε φίλῳ παρὰ παιδὶ μένουσα,
ὄφρα τε γῆς ἐπέβη δειμαλέους τε μυχούς.

Ἐμπίομαι, πενίης θυμοφθόρου οὐ μελεδαίνων,
οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς.
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει,
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν,
ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ.

Ἐλπὶς ἐν ἀνθρώποις μούνη θεὸς ἐσθλὴ ἔνεστιν,
ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν·

ᾤχετο μὲν Πίστις, μεγάλη θεός, ᾤχετο δ' ἀνδρῶν
  Σωφροσύνη· Χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον·
ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
  οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους·
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
  οὐκέτι γινώσκουσ' οὐδὲ μὲν εὐσεβίας.
ἀλλ' ὄφρα τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
  εὐσεβέων περὶ θεούς, Ἐλπίδα προςμενέτω,
εὐχέσθω δὲ θεοῖσι, καὶ ἀγλαὰ μηρία καίων
  Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
  οἳ θεῶν ἀθανάτων οὐδὲν ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
  αἰσχρὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.

Μή ποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα,
  δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Εἴη μοι πλουτεῦντι κακῶν ἀπάτερθε μεριμνέων
  ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.

Οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη
  ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

(Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί·
  οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις·)
ὡς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
  ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται τελέσαι.

Οὐδένα θησαυρὸν καταθήσειν παισὶν ἄμεινον·
  αἰτοῦσιν δ' ἀγαθοῖς ἀνδράσι, Κύρνε, δίδου.

Ὀφθαλμοὶ καὶ γλῶσσα καὶ οὔατα καὶ νόος ἀνδρῶν
  ἐν μέσσῳ στηθέων ἐν συνετοῖς φύεται.

Τοῖς ἀγαθοῖς σύμμισγε, κακοῖσι δὲ μή ποθ' ὁμάρτει,
  εὖτ' ἂν ὁδοῦ τελέῃς τέρματ' ἐπ' ἐμπορίην.

Τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα·
  τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.

Ἐκ κακεταιρίης κακὰ γίνεται· εὖ δὲ καὶ αὐτός
γνώσῃ, ἐπεὶ μεγάλους ἤλιτες ἀθανάτους.

Γνώμην, Κύρνε, θεοὶ θνητοῖσι διδοῦσιν ἄριστον
ἀνθρώποις· γνώμη πείρατα παντὸς ἔχει.
ὦ μάκαρ, ὅςτις δή μιν ἔχει φρεσίν, ἦ πολὺ κρείσσων
ὕβριος οὐλομένης λευγαλέου τε κόρου
ἐστι· κακὸν δὲ βροτοῖςι κόρος, τῶν οὔτι κάκιον·
πᾶσα γὰρ ἐκ τούτων, Κύρνε, πέλει κακότης.

Εἴ κ' εἴης ἔργων αἰσχρῶν ἀπαθὴς καὶ ἀεργός,
Κύρνε, μεγίστην κεν πεῖραν ἔχοις ἀρετῆς.

Κύρνε, θεοὺς αἰδοῦ καὶ δείδιθι· τοῦτο γὰρ ἄνδρα
εἴργει μήθ' ἔρδειν μήτε λέγειν ἀσεβῆ.

Δημοφάγον δὲ τύραννον, ὅπως ἐθέλεις, κατακλῖναι
οὐ νέμεσις πρὸς θεῶν γίνεται οὐδεμία.

Νοῦς ἀγαθὸς καὶ γλῶσσα, τά τ' ἐν παύροισι πέφυκεν
ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Οὐδένα, Κύρν', αὐγαὶ φαεσιμβρότου ἠελίοιο
ἄνδρ' ἐφορῶσ', ᾧ μὴ μῶμος ἐπικρέμαται.

Οὔτις ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρεῖαν
δυςτυχίην, εἰ μὴ μοῖρ' ἐπὶ τέρμα βάλοι.
οὐδ' ἂν δυςφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμποι,
θνητὸς ἀνὴρ δώροις βουλόμενος προφύγοι.

Οὐκ ἔραμαι κλισμῷ βασιληΐῳ ἐγκατακεῖσθαι
τεθνεώς, ἀλλά τί μοι ζῶντι γένοιτ' ἀγαθόν·
ἀσπάλαθοι δὲ τάπησιν ὁμοῖον στρῶμα θανόντι·
τὸ ξύλον ἢ σκληρὸν γίνεται, ἢ μαλακόν.

Μήτι θεοὺς ἐπίορκον ἐπόμνυθι· οὐ γὰρ ἀνεκτόν
ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.

Ὄρνιθος φωνήν, Πολυπαΐδη, ὀξὺ βοώσης
ἤκουσ', ἥτε βροτοῖς ἄγγελος ἦλθ' ἀρότου
ὡραίου· καί μοι κραδίην ἐπάταξε μέλαιναν,
ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς,
οὐδέ μοι ἡμίονοι κύφων' ἕλκουσιν ἀρότρον,
τῆς ἄλλης μνηστῆς εἵνεκα ναυτιλίης.

Οὐκ εἶμ', οὐδ' ὑπ' ἐμοῦ κεκλήσεται, οὐδ' ἐπὶ τύμβῳ
οἰμωχθεὶς ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ.
οὐδ' ἂν ἐκεῖνος ἐμοῦ τεθνηότος οὔτ' ἀνιῷτο,
οὔτε κατὰ βλεφάρων δάκρυα θερμὰ βάλοι.

Οὔτε σε κωμάζειν ἀπερύκομεν οὔτε καλοῦμεν·
ἀργαλέος παρεών, καὶ φίλος, εὖτ' ἂν ἀπῇς.

Αἴθων μὲν γένος εἰμί, πόλιν δ' εὐτείχεα Θήβην
οἰκῶ, πατρῴας γῆς ἀπερυκόμενος.

Μή μ' ἀφελῶς παίζουσα φίλους δένναζε τοκῆας,
Ἀργυρί· σοὶ μὲν γὰρ δούλιον ἦμαρ ἔπι,
ἡμῖν δ' ἄλλα μέν ἐστι, γύναι, κακὰ πόλλ', ἐπεὶ ἐκ γῆς
φεύγομεν, ἀργαλέη δ' οὐκ ἔπι δουλοσύνη,
οὐδ' ἡμᾶς περνᾶσι· πόλις γε μέν ἐστι καὶ ἡμῖν
καλή, Ληθαίῳ κεκλιμένη πεδίῳ.

Μή ποτε παρ κλαίοντα καθεζόμενοι γελάσωμεν,
τοῖς αὑτῶν ἀγαθοῖς, Κύρν', ἐπιτερπόμενοι.

Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυςμενεῖ ἐξαπατῆσαι,
Κύρνε· φίλον δὲ φίλῳ ῥᾴδιον ἐξαπατᾶν.

(Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσιν
πταίσματα, τῆς γνώμης, Κύρνε, ταρασσομένης.)

(Οὐδέν, Κύρν', ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.)

(Οὐδέν, Κύρν', ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός·
μάρτυς ἐγώ, σὺ δ' ἐμοὶ γίνου ἀληθοσύνης.)

[Ἀληθείη δὲ παρέστω
σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον.]

("Ηδη γάρ με κέκληκε θαλάσσιος οἴκαδε νεκρός,
τεθνηκὼς ζωῷ φθεγγόμενος στόματι.)

(ΕΛΕΓΕΙΩΝ Β′)

Σχέτλι' Ἔρως, μανίαι σ' ἐτιθηνήσαντο λαβοῦσαι·
ἐκ σέθεν ὤλετο μὲν Ἰλίου ἀκρόπολις,
ὤλετο δ' Αἰγείδης Θησεὺς μέγας, ὤλετο δ' Αἴας,
ἐσθλὸς Ὀϊλιάδης, σῇσιν ἀτασθαλίαις.

Ὦ παῖ, ἄκουσον ἐμεῦ, δαμάσας φρένας· οὔ τοι ἀπειθῆ
μῦθον ἐρῶ τῇ σῇ καρδίῃ οὐδ' ἄχαριν.
ἀλλὰ τλῆθι νόῳ συνιδεῖν ἔπος· οὔ τοι ἀνάγκη
τοῦθ' ἔρδειν, ὅ τι σοι μὴ καταθύμιον ᾖ.

Πολλάκι τοι παρ' ἐμοὶ κατὰ σοῦ λέξουσι μάταια
καὶ παρὰ σοὶ κατ' ἐμοῦ· τῶν δὲ σὺ μὴ ξύνιε.

Χαιρήσεις τῇ πρόσθε παροιχομένῃ φιλότητι,
τῆς δὲ παρερχομένης οὐκέτ' ἔσῃ ταμίης.

Δὴν δὴ καὶ φίλοι ὦμεν· ἔπειτ' ἄλλοισιν ὁμίλει,
ἦθος ἔχων δόλιον, πίστεος ἀντίτυπον.

Οὔποθ' ὕδωρ καὶ πῦρ συμμίξεται· οὐδέ ποθ' ἡμεῖς
πιστοὶ ἐπ' ἀλλήλοις καὶ φίλοι ἐσσόμεθα.

Φρόντισον ἔχθος ἐμὸν καὶ ὑπέρβασιν, ἴσθι δὲ θυμῷ,
ὥς σ' ἐφ' ἁμαρτωλῇ τίσομαι ὡς δύναμαι.

Παῖ, σὺ μὲν αὔτως ἵππος, ἐπεὶ κριθῶν ἐκορέσθης,

* * *

αὖθις ἐπὶ σταθμοὺς ἤλυθες ἡμετέρους,

ἡνίοχόν τε ποθῶν ἀγαθὸν λειμῶνά τε καλόν
κρήνην τε ψυχρὴν ἄλσεά τε σκιερά.

Ὄλβιος, ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
θηρευταί τε κύνες καὶ ξένοι ἀλλοδαποί.

Ὅστις μὴ παῖδάς τε φιλεῖ καὶ μώνυχας ἵππους
[illegible] κύνας, οὔποτέ οἱ θυμὸς ἐν εὐφροσύνῃ.

Ὦ παῖ, κινδύνοισι πολυπλάγκτοισιν ὁμοῖος
ὀργήν, ἄλλοτε τοῖς, ἄλλοτε τοῖσι φιλεῖν.

Ὦ παῖ, τὴν μορφὴν μὲν ἔφυς καλός, ἀλλ' ἐπίκειται
καρτερὸς ἀγνώμων σῇ κεφαλῇ στέφανος·
ἰκτίνου γὰρ ἔχεις ἀγχιστρόφου ἐν φρεσὶν ἦθος,
[illegible] ἀνθρώπων ῥήμασι πειθόμενος.

[illegible]ὃς εὖ ἔρδοντι κακὴν ἀπέδωκας ἀμοιβήν,
οὐδέ τις ἀντ' ἀγαθῶν ἐστὶ χάρις παρὰ σοί·
οὐδέν πώ μ' ὤνησας· ἐγὼ δὲ σὲ πολλάκις ἤδη
εὖ ἔρδων αἰδοῦς οὐδεμιῆς ἔτυχον.

Παῖς τε [illegible] ἵππος ὁμοῖον ἔχει νόον· οὔτε γὰρ ἵππος
ἡνίοχον κλαίει κείμενον ἐν κονίῃ,
ἀλλὰ τὸν ὕστερον ἄνδρα φέρει κριθαῖσι κορεσθείς·
ὡς δ' αὔτως καὶ παῖς τὸν παρεόντα φιλεῖ.

Ὦ παῖ, μαργοσύνης ἀπὸ μὲν νόον ὤλεσας ἐσθλόν,
αἰσχύνη δὲ φίλοις ἡμετέροις ἐγένου,
ἄμμε δ' ἀνέψυξας μικρὸν χρόνον· ἐκ δὲ θυελλῶν
ἠκά γ' ἐνωρμίσθην νυκτὸς ἐπειγομένης.

Ὡραῖος καὶ Ἔρως ἐπιτέλλεται, ἡνίκα περ γῆ
ἄνθεσιν εἰαρινοῖς θάλλει ἀεξομένη,
τῆμος Ἔρως προλιπὼν Κύπρον, περικαλλέα νῆσον,
εἶσιν ἐπ' ἀνθρώπους σπέρμα φέρων κατὰ γῆς.

Οὐκ ἐθέλω σε κακῶς ἔρδειν, οὐδ' εἴ μοι ἄμεινον
πρὸς θεῶν ἀθανάτων ἔσσεται, ὦ καλὲ παῖ·
οὐ γὰρ ἁμαρτωλαῖσιν ἐπὶ σμικραῖσι κάθημαι,
τῶν δὲ καλῶν παίδων οὐ τίσις οὐδ' ἀδίκων.

Ὦ παῖ, μή μ' ἀδίκει, ἔτι σοι καταθύμιος εἶναι
βούλομαι, εὐφροσύνῃ τοῦτο συνεὶς ἀγαθῇ·
οὐ γάρ τοί με δόλῳ παρελεύσεαι οὐδ' ἀπατήσεις·
νικήσας γὰρ ἔχεις τὸ πλέον ἐξοπίσω.
ἀλλά σ' ἐγὼ τρώσω φεύγοντά με, ὥς ποτέ φασιν
Ἰασίου κούρην, παρθένον Ἰασίην,
ὡραίην περ ἐοῦσαν, ἀναινομένην γάμον ἀνδρῶν
φεύγειν· ζωσαμένη δ' ἔργ' ἀτέλεστα τέλει,
πατρὸς νοσφισθεῖσα δόμων, ξανθὴ Ἀταλάντη·
ᾤχετο δ' ὑψηλὰς ἐς κορυφὰς ὀρέων,
φεύγουσ' ἱμερόεντα γάμον, χρυσῆς Ἀφροδίτης
δῶρα· τέλος δ' ἔγνω καὶ μάλ' ἀναινομένη.

Ὦ παῖ, μή με κακοῖσιν ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
μηδέ με σὴ φιλότης δώματα Περσεφόνης
οἴχηται προφέρουσα· θεῶν δ' ἐποπίζεο μῆνιν
βάξιν τ' ἀνθρώπων, ἤπια νωσάμενος.

Ὦ παῖ, μέχρι τίνος με προφεύξεαι; ὥς σε διώκων
δίζημ'· ἀλλά τί μοι τέρμα γένοιτο κιχεῖν
σῆς ὀργῆς· σὺ δὲ μάργον ἔχων καὶ ἀγήνορα θυμόν
φεύγεις, ἰκτίνου σχέτλιον ἦθος ἔχων.
ἀλλ' ἐπίμεινον, ἐμοὶ δὲ δίδου χάριν· οὐκέτι δηρόν
ἕξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου.

Θυμῷ γνούς, ὅτι παιδείας πολυηράτου ἄνθος
ὠκύτερον σταδίου, τοῦτο συνεὶς χάλασον
δεσμοῦ, μή ποτε καὶ σὺ βιήσεαι, ὄβριμε παίδων,
Κυπρογενοῦς δ' ἔργων ἀντιάσεις χαλεπῶν,
ὥςπερ ἐγὼ νῦν ὧδ' ἐπὶ σοί· σὺ δὲ ταῦτα φύλαξαι,
μηδέ σε νικήσῃ παῖδ' ἀδαῆ κακότης.

Οὐκ ἔλαθες κλέψας, ὦ παῖ· καὶ γάρ σε διῶμαι·
τούτοις, οἵςπερ νῦν ἄρθμιος ἠδὲ φίλος

ἔπλευ, ἐμὴν δὲ μεθῆκας ἀτίμητον φιλότητα,
οὐ μὲν δὴ τούτοις γ' ἦσθα φίλος πρότερον.
ἀλλ' ἐγὼ ἐκ πάντων σ' ἐδόκουν θήσεσθαι ἑταῖρον
πιστόν· καὶ δὴ νῦν ἄλλον ἔχεισθα φίλον.
ἀλλ' ὁ μὲν εὖ ἔρδων κεῖμαι· σὲ δὲ μήτις ἁπάντων
ἀνθρώπων ἐσορῶν παιδοφιλεῖν ἐθέλοι.

[illegible]αῖ, ἐπεί τοι δῶκε θεὰ χάριν ἱμερόεσσαν
[illegible]ρις, σὸν δ' εἶδος πᾶσι νέοισι μέλει,
τῶνδ' ἐπάκουσον ἐπῶν καὶ ἐμὴν χάριν ἔνθεο θυμῷ,
γνοὺς ἔρος ὡς χαλεπὸν γίνεται ἀνδρὶ φέρειν.

Κυπρογένη, παῦσόν με πόνων, σκέδασον δὲ μερίμνας
θυμοβόρους, στρέψον δ' αὖθις ἐς εὐφροσύνας,
μερμήρας δ' ἀπόπαυε κακάς, δὸς δ' εὔφρονι θυμῷ
μέ[illegible] ἥβης τελέσαντ' ἔργματα σωφροσύνης.

[illegible], ἕως ἂν ἔχῃς λείαν γένυν, οὔποτε σαίνων
[illegible]αύσομαι, οὐδ' εἴ μοι μόρσιμόν ἐστι θανεῖν.

Σοί τε διδοῦν καλόν ἐστιν, ἐμοί τ' οὐκ αἰσχρὸν ἐρῶντι
αἰτεῖν· ἀλλὰ γονέων λίσσομαι ἡμετέρων·
αἰδέο [illegible], ὦ παῖ ... διδοὺς χάριν, εἴ ποτε καὶ σὺ
ἕξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου
χρῄζων καὶ ἐπ' ἄλλον ἐλεύσεαι, ἀλλά σε δαίμων
δοίη τῶν αὐτῶν ἀντιτυχεῖν ἐπέων.

Ὄλβιος ὅστις ἐρῶν γυμνάζεται, οἴκαδε δ' ἐλθὼν
εὕδει σὺν καλῷ παιδὶ πανημέριος.

Οὐκέτ' ἐρῶ παιδός, χαλεπὰς δ' ἀπελάκτισ' ἀνίας,
μόχθους τ' ἀργαλέους ἄσμενος ἐξέφυγον,
ἐκλέλυμαι δὲ πόθου πρὸς ἐϋστεφάνου Κυθερείης·
σοὶ δ', ὦ παῖ, χάρις ἔστ' οὐδεμία πρὸς ἐμοῦ.

Αἰαῖ, παιδὸς ἐρῶ ἁπαλόχροος, ὅς με φίλοισιν
πᾶσι μάλ' ἐκφαίνει, κοὐκ ἐθέλοντος ἐμοῦ·
τλήσομαι οὐ κρύψας ἀεκούσια πολλὰ βίαια·
οὐ γὰρ ἐπ' αἰκελίῳ παιδὶ δαμεὶς ἐφάνην.

Παιδοφιλεῖν δέ τι τερπνόν, ἐπεί ποτε καὶ Γανυμήδους
ἤρατο καὶ Κρονίδης, ἀθανάτων βασιλεύς,
ἁρπάξας δ' ἐς Ὄλυμπον ἀνήγαγε, καί μιν ἔθηκεν
δαίμονα, παιδείης ἄνθος ἔχοντ' ἐρατόν.
οὕτω μὴ θαύμαζε, Σιμωνίδη, οὕνεκα κἀγώ
ἐξεδάμην καλοῦ παιδὸς ἔρωτι δαμείς.

Ὦ παῖ, μὴ κώμαζε, γέροντι δὲ πείθεο ἀνδρί·
οὔ τοι κωμάζειν σύμφορον ἀνδρὶ νέῳ.

Πικρὸς καὶ γλυκύς ἐστι καὶ ἁρπαλέος καὶ ἀπηνής,
ὄφρα τέλειος ἔῃ, Κύρνε, νέοισιν ἔρως·
ἢν μὲν γὰρ τελέσῃ, γλυκὺ γίνεται· ἢν δὲ διώκων
μὴ τελέσῃ, πάντων τοῦτ' ἀνιηρότατον.

Αἰεὶ παιδοφίλῃσιν ἐπὶ ζυγὸν αὐχένι κεῖται
δύσμορον, ἀργαλέον μνῆμα φιλοξενίης.

Χρὴ γάρ τοι περὶ παῖδα πονούμενον εἰς φιλότητα
ὥςπερ κληματίνῳ χεῖρα πυρὶ προςάγειν.

Ναῦς πέτρῃ προςέκυρσας ἐμῆς φιλότητος ἁμαρτών,
ὦ παῖ, καὶ σαπροῦ πείσματος ἀντελάβου.

Οὐδαμά σ' οὐδ' ἀπεὼν δηλήσομαι· οὐδέ με πείσει
οὐδεὶς ἀνθρώπων ὥστε με μή σε φιλεῖν.

Ὦ παίδων κάλλιστε καὶ ἱμεροέστατε πάντων,
στῆθ' αὐτοῦ καί μου παῦρ' ἐπάκουσον ἔπη.

Παιδός τοι χάρις ἐστί, γυναικὶ δὲ πιστὸς ἑταῖρος
οὐδείς, ἀλλ' αἰεὶ τὸν παρεόντα φιλεῖ.

Παιδὸς ἔρως καλὸς μὲν ἔχειν, καλὸς δ' ἀποθέσθαι·
πολλὸν δ' εὑρέσθαι ῥήτερον ἢ τελέσαι.
μυρία δ' ἐξ αὐτοῦ κρέμαται κακά, μυρία δ' ἐσθλά·
ἀλλ' ἔν τοι ταύτῃ καί τις ἔνεστι χάρις.

Οὐδαμά πω κατέμεινας ἐμὴν χάριν, ἀλλ' ὑπὸ πᾶσαν
  αἰεὶ σπουδαίην ἔρχεαι ἀγγελίην.

Ὄλβιος ὅςτις παιδὸς ἐρῶν οὐκ οἶδε θάλασσαν,
  οὐδέ οἱ ἐν πόντῳ νὺξ ἐπιοῦσα μέλει.

Καλὸς ἐὼν κακότητι φίλων δειλοῖσιν ὁμιλεῖς
  ἀνδράσι, καὶ διὰ τοῦτ' αἰσχρὸν ὄνειδος ἔχεις,
ὦ παῖ· ἐγὼ δ' ἀέκων τῆς σῆς φιλότητος ἁμαρτών,
  ὠνήμην ἔρδων οἷά τ' ἐλεύθερος ὤν.

Ἄνθρωποί σ' ἐδόκουν χρυσῆς παρὰ δῶρον ἔχοντα
  ἐλθεῖν Κυπρογενοῦς.

(Κυπρογενοῦς) δῶρον ἰοστεφάνου
γίνεται ἀνθρώποισιν ἔχειν χαλεπώτατον ἄχθος,
  ἢν μὴ Κυπρογενὴς δῷ λύσιν ἐκ χαλεπῶν.

Κυπρογενὲς Κυθέρεια δολοπλόκε, σοί τι περισσόν
  Ζεὺς τόδε τιμήσας δῶρον ἔδωκεν ἔχειν·
δαμνᾷς δ' ἀνθρώπων πυκινὰς φρένας, οὐδέ τίς ἐστιν
  οὕτως ἴφθιμος καὶ σοφὸς ὥστε φυγεῖν.

XIV.

HIPPARCHUS.

1.

Μνῆμα τόδ' Ἱππάρχου· στεῖχε δίκαια φρονῶν.

2.

Μνῆμα τόδ' Ἱππάρχου· μὴ φίλον ἐξαπάτα.

XV.

P I G R E S.

Μῆνιν ἄειδε, θεά, Πηληϊάδεω Ἀχιλῆος,
Μοῦσα, σὺ γὰρ πάσης πείρατ' ἔχεις σοφίης.

XVI.

E P I C H A R M U S.

Εἰμὶ νεκρός, νεκρὸς δὲ κόπρος, γῆ δ' ἡ κόπρος ἐστιν,
εἰ δέ τε γῆ νεκρός ἐστ', οὐ νεκρός, ἀλλὰ θεός.

XVII.

A E S C H Y L U S.

ΕΛΕΓΕΙΑ.

2.

Τυῤῥηνῶν γενεάν, φαρμακοποιὸν ἔθνος.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

3.

Κυανέη καὶ τούςδε μενέγχεας ὤλεσεν ἄνδρας
μοῖρα, πολύῤῥηνον πατρίδα ῥυομένους.
ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
τλήμονες Ὀσσείαν ἀμφιέσαντο κόνιν.

4.

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·
ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

5.

Βριθὺς ὁπλιτοπάλας, δάϊος ἀντιπάλοις.

XVIII.

SOPHOCLES.

ΕΛΕΓΕΙΑ.

1.

Ἀρχέλεως· ἦν γὰρ σύμμετρον ὧδε λέγειν.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

4.

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦνθ' ἑτέραν
Βοῤῥᾶς ὡμίλησε· σὺ δ' οὐ σοφός, ὃς τὸν Ἔρωτα,
ἀλλοτρίαν σπείρων, λωποδύτην ἀπάγεις.

5.

Ὠιδὴν Ἡροδότῳ τεῦξεν Σοφοκλῆς ἐτέων ὢν
* πέντ' ἐπὶ πεντήκοντα.....

XIX.

ION.

ΕΛΕΓΕΙΑ.

1.

.. Θυρσοφόροις μέγα πρεσβεύων Διόνυσος·
αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων,
αἵ τε Πανελλήνων ἀγοραὶ θαλίαι τε ἀνάκτων,
ἐξ οὗ βοτρυόεσσ' οἰνὰς ὑποχθόνιον
πτόρθον ἀνασχομένη θαλερῷ ἐπτύξατο πήχει
αἰθέρος· ὀφθαλμῶν δ' ἐξέθορον πυκινοὶ
παῖδες φωνήεντες, ὅταν πέσῃ ἄλλος ἐπ' ἄλλῳ,
πρὶν δὲ σιωπῶσιν· παυσάμενοι δὲ βοῆς
νέκταρ ἀμέλγονται μόνον ὄλβιον ἀνθρώποισιν,
ξυνὸν τοῦ χαίρειν φάρμακον αὐτοφυές·
τοῦ θαλίαι φίλα τέκνα φιλοφροσύναι τε χοροί τε·

τῶν ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν.
τῷ σύ, πάτερ Διόνυσε, φιλοστεφάνοισιν ἀρέσκων
ἀνδράσιν, εὐθύμων συμποσίων πρύτανι,
χαῖρε· δίδου δ' αἰῶνα, καλῶν ἐπιήρανε ἔργων,
πίνειν καὶ παίζειν καὶ τὰ δίκαια φρονεῖν.

2.

Χαιρέτω ἡμέτερος βασιλεὺς σωτήρ τε πατήρ τε·
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θέραπες
κιρνάντων προχύταισιν ἐν ἀργυρέοις· ὁ δὲ χρυσός
οἶνον ἔχων χειρῶν νιζέτω εἰς ἔδαφος.
σπένδοντες δ' ἁγνῶς Ἡρακλέϊ τ' Ἀλκμήνῃ τε
Προκλέϊ Περσείδαις τ' ἐκ Διὸς ἀρχόμενοι
πίνωμεν, παίζωμεν, ἴτω διὰ νυκτὸς ἀοιδή,
ὀρχείσθω τις· ἑκὼν δ' ἄρχε φιλοφροσύνης.
ὅντινα δ' εὐειδὴς μίμνει θήλεια πάρευνος,
κεῖνος τῶν ἄλλων κυδρότερον πίεται.

3.

Ἑνδεκάχορδε λύρα, δεκαβάμονα τάξιν ἔχουσα,
τὰς συμφωνούσας ἁρμονίας τριόδους·
πρὶν μέν σ' ἑπτάτονον ψάλλον διὰ τέσσαρα πάντες
Ἕλληνες σπανίαν μοῦσαν ἀειράμενοι.

4.

Ὣς ὁ μὲν ἠνορέῃ τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ
καὶ φθίμενος ψυχῇ τερπνὸν ἔχει βίοτον,
εἴπερ Πυθαγόρης ἐτύμως ὁ σοφὸς περὶ πάντων
ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.

8.

Χαῖρε μελαμπέπλοις, Εὐριπίδη, ἐν γυάλοισιν
Πιερίας τὸν ἀεὶ νυκτὸς ἔχων θάλαμον·
ἴσθι δ' ὑπὸ χθονὸς ὤν, ὅτι σοι κλέος ἄφθιτον ἔσται
ἶσον Ὁμηρείαις ἀενάοις χάρισιν.

ΜΕΛΗ.

9.

ΔΙΘΥΡΑΜΒΟΙ.

.... ∪∪–´∪––´∪∪–∪∪––´∪∪–
∪´–´∪––´∪∪–∪∪–
x –´∪∪–....

Ἄδαμον παῖδα, ταυρωπόν, νέον οὐ νέον, ἥδιστον πρόπολον
βαρυγδούπων ἐρώτων, οἶνον ἀερσίνοον,
ἀνθρώπων πρύτανιν.

10.

–´∪´∪∪––
´∪∪–∪∪–∪∪––´∪∪–∪∪–

Ἀοῖον ἀεροφοίταν
ἀστέρα μείναμεν ἀελίου λευκοπτέρυγα πρόδρομον.

14.

´∪∪–∪∪–∪∪–∪∪–∪∪–∪∪––
´∪∪–∪∪––´∪–
∪∪´∪∪–∪∪–∪∪––

Οὐδ᾽ ὅγε σῶμα τυπεὶς διφυεῖς τε κόρας ἐπιλάθεται ἀλκᾶς,
ἀλλ᾽ ὀλιγοδρανέων φθογγάζεται·
θάνατον δ᾽ ὅγε δουλοσύνας προβέβουλεν.

XX.

MELANTHIUS.

ΕΛΕΓΕΙΑ.

1.

Αὐτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε
Κεκροπίαν κόσμησ᾽ ἡμιθέων ἀρεταῖς.

XXII.

HIPPO.

Ἵππωνος τόδε σῆμα, τὸν ἀθανάτοισι θεοῖσιν
ἶσον ἐποίησεν Μοῖρα καταφθίμενον.

XXIII.

EMPEDOCLES.

1.

Ἄκρον ἰητρὸν Ἄκρων', Ἀκραγαντῖνον πατρὸς ἄκρου,
κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.

2.

Παυσανίην ἰητρὸν ἐπώνυμον, Ἀγχίτου υἱόν,
φῶτ' Ἀσκληπιάδην πατρὶς ἔθρεψε Γέλα·
ὃς πολλοὺς μογεροῖσι μαραινομένους καμάτοισιν
φῶτας ἀπέστρεψεν Περσεφόνης ἀδύτων.

XXIV.

DIONYSIUS CHALCUS.

1.

Ὦ Θεόδωρε δέχου τήνδε προπινομένην
τὴν ἀπ' ἐμοῦ ποίησιν. ἐγὼ δ' ἐπιδέξια πέμπω
σοὶ πρώτῳ χαρίτων ἐγκεράσας χάριτας.
καὶ σὺ λαβὼν τόδε δῶρον ἀοιδὰς ἀντιπρόπιθι,
συμπόσιον κοσμῶν καὶ τὸ σὸν εὖ θέμενος.

2.

Ἀγγελίας ἀγαθῆς δεῦρ' ἴτε πευσόμενοι
καὶ κυλίκων ἔριδας διαλύσατε καὶ κατάθεσθε
τὴν ξύνεσιν παρ' ἐμοὶ καὶ τάδε μανθάνετε.

3.

*Κότταβον ἐνθάδε σοι τρίτον ἱστάναι οἱ δυςέρωτες
ἡμεῖς προςτίθεμεν γυμνασίῳ Βρομίου
κώρυκον· οἱ δὲ παρόντες ἐνείρετε χεῖρας ἅπαντες
ἐς σφαίρας κυλίκων· καὶ πρὶν ἐκεῖνον ἰδεῖν,
ὄμματι βηματίσαισθε τὸν αἰθέρα τὸν κατὰ κλίνην,
εἰς ὅσον αἱ λάταγες χωρίον ἐκτέταται.*

4.

*Ὕμνους οἰνοχοεῖν ἐπιδέξια σοί τε καὶ ἡμῖν
τόνδε τὸν ἀρχαῖον τηλεδαπόν τε φίλον
εἰρεσίῃ γλώσσης ἀποπέμψομεν εἰς μέγαν αἶνον
τοῦδ᾽ ἐπὶ συμποσίου· δεξιότης τε λόγου
Φαίακος Μουσῶν ἐρέτας ἐπὶ σέλματα πέμπει.*

5.

*Καί τινες οἶνον ἄγοντες ἐν εἰρεσίῃ Διονύσου,
συμποσίου ναῦται καὶ κυλίκων ἐρέται
* * περὶ τοῦδε· τὸ γὰρ φίλον οὐκ ἀπόλωλεν.*

6.

*Τί κάλλιον ἀρχομένοισιν
ἢ καταπαυομένοις ἢ τὸ ποθεινότατον;*

XXV.
EURIPIDES.

ΕΛΕΓΕΙΑ.

1.

ΕΠΙΚΗΔΕΙΟΝ.

*Οἵδε Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν
ἄνδρες, ὅτ᾽ ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις.*

2.

ΕΠΙΓΡΑΜΜΑ.

*Ὦ τὸν ἀγήραντον πόλον αἰθέρος, Ἥλιε, τέμνων,
ἆρ᾽ εἶδες τοιόνδ᾽ ὄμμασι πρόσθε πάθος,*

μητέρα παρθενικήν τε κόρην δισσούς τε συναίμους
ἐν ταὐτῷ φέγγει μοιραδίῳ φθιμένους;

ΜΕΛΗ.

3.

ΕΠΙΝΙΚΙΟΝ ΑΛΚΙΒΙΑΔΗι.

◡◡–́◡◡––́◡––
–́◡–––́◡–––́◡–––́◡–––́◡⏓
–́◡◡–◡◡–
––́◡◡–◡◡––́◡◡–◡◡–––́◡◡––
––́◡◡–◡◡––

Σὲ δ᾽ ἀείσομαι, ὦ Κλεινίου παῖ·
καλὸν ἁ νίκα· (τὸ) κάλλιστον (δ᾽) ὃ μηδεὶς ἄλλος Ἑλλά-
νων (λάχεν),
ἅρματι πρῶτα δραμεῖν
καὶ δεύτερα καὶ τρίτα, βῆναί τ᾽ ἀπονητί, Διὸς στεφθέντα
τ᾽ ἐλαίᾳ
κάρυκι βοᾶν παραδοῦναι.

XXVI.

THUCYDIDES.

Μνῆμα μὲν Ἑλλὰς ἅπασ᾽ Εὐριπίδου, ὀστέα δ᾽ ἴσχει
γῆ Μακεδών, ᾗ γὰρ δέξατο τέρμα βίου.
πατρὶς δ᾽ Ἑλλάδος Ἑλλάς, Ἀθῆναι· πλεῖστα δὲ μούσαις
τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

XXVII.

ALCIBIADES.

Βάπτεις μ᾽ ἐν θυμέλῃσίν, ἐγὼ δέ σε κύμασι πόντου
βαπτίζων ὀλέσω νάμασι πικροτάτοις.

XXVIII.

AGATHON.

Ὤφελεν, ὡς ἀφανής, οὕτω φανερώτατος εἶναι
  καιρός, ὃς αὐξάνεται πλεῖστον ἀπ᾽ εὐλαβίης.

XXIX.

EUENUS.

ΕΛΕΓΕΙΑ.

1.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,
  ὀρθῶς δ᾽ ἀντιλέγειν, οὐκέτι τοῦτ᾽ ἐν ἔθει·
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός,
  „σοὶ μὲν ταῦτα δοκοῦντ᾽ ἔστω, ἐμοὶ δὲ τάδε.“
τοὺς ξυνετοὺς δ᾽ ἄν τις πείσειε τάχιστα λέγων εὖ,
  οἵπερ καὶ ῥᾴστης εἰσὶ διδασκαλίας.

2.

Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολὺ μηδ᾽ ἐλάχιστον·
  ἔστι γὰρ ἢ λύπης αἴτιος ἢ μανίης.
χαίρει κιρνάμενος δὲ τρισὶν Νύμφαισι τέταρτος·
  τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος·
εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν ἔρωτας,
  βαπτίζει δ᾽ ὕπνῳ γείτονι τοῦ θανάτου.

3.

Ἡγοῦμαι σοφίας εἶναι μέρος οὐκ ἐλάχιστον
  ὀρθῶς γιγνώσκειν οἷος ἕκαστος ἀνήρ.

4.

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν μάλα σύμφορόν ἐστιν,
  χωρὶς δὲ βλαβερὴ καὶ κακότητα φέρει.

5.

Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψεν
κρυπτόμενον, μανίας πουλὺ χερειότερον.

6.

Ἢ δέος ἢ λύπη παῖς πατρὶ πάντα χρόνον.

7.

Ἥτις κερδαίνουσ' οὐδέν, ὅμως ἀδικεῖ.

8.

Πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ.

ΕΠΗ.

9.

Φημὶ πολυχρονίην μελέτην ἔμεναι, φίλε, καὶ δή
ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

XXX.

CRITIAS.

ΕΛΕΓΕΙΑ.

(ΠΟΛΙΤΕΙΑΙ.)

1. [1.]*)

Κότταβος ἐκ Σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον,
ὃν σκοπὸν ἐς λατάγων τόξα καθιστάμεθα·
εἶτα δ' ὄχος Σικελός, κάλλει δαπάνῃ τε κράτιστος
* * * * *
Θεσσαλικὸς δὲ θρόνος, γυίων τρυφερωτάτη ἕδρα·
εὐναίου δὲ λέχους ἔξοχα κάλλος ἔχει
Μίλητός τε Χίος τ', ἔναλος πόλις Οἰνοπίωνος·
Τυρσηνὴ δὲ κρατεῖ χρυσότυπος φιάλη,

---

*) **Numeri adiecti sunt editionis Bachianae.**

XXVIII.

AGATHON.

Ὤφελεν, ὡς ἀφανής, οὕτω φανερώτατος εἶναι
καιρός, ὃς αὐξάνεται πλεῖστον ἀπ' εὐλαβίης.

XXIX.

EUENUS.

ΕΛΕΓΕΙΑ.

1.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει·
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός,
„σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε.“
τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥᾴστης εἰσὶ διδασκαλίας.

2.

Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολὺ μηδ' ἐλάχιστον·
ἔστι γὰρ ἢ λύπης αἴτιος ἢ μανίης.
χαίρει κιρνάμενος δὲ τρισὶν Νύμφαισι τέταρτος·
τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος·
εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν ἔρωτας,
βαπτίζει δ' ὕπνῳ γείτονι τοῦ θανάτου.

3.

Ἡγοῦμαι σοφίας εἶναι μέρος οὐκ ἐλάχιστον
ὀρθῶς γιγνώσκειν οἷος ἕκαστος ἀνήρ.

4.

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν μάλα σύμφορόν ἐστιν,
χωρὶς δὲ βλαβερὴ καὶ κακότητα φέρει.

ΕΙΣ ΑΛΚΙΒΙΑΔΗΝ.

3. [3.]

Καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω,
Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις·
οὐ γάρ πως ἦν τοὔνομ' ἐφαρμόζειν ἐλεγείῳ·
νῦν δ' ἐν ἰαμβείῳ κείσεται οὐκ ἀμέτρως.

4. [2.]

Γνώμη δ' ἥ σε κατήγαγ', ἐγὼ ταύτην ἐν ἅπασιν
εἶπον καὶ γράψας τοὔργον ἔδρασα τόδε·
σφραγὶς δ' ἡμετέρης γλώσσης ἐπὶ τοῖςδεσι κεῖται.

---

5. [4.]

Πλοῦτον μὲν Σκοπαδῶν, μεγαλοφροσύνην δὲ Κίμωνος,
νίκας δ' Ἀρκεσίλα τοῦ Λακεδαιμονίου.

6. [5.]

Ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί.

ΕΠΗ.

7. [7.]

Τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ' ᾠδάς
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ' ἀνῆγεν,
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
αὐλῶν ἀντίπαλον, φιλοβάρβιτον, ἡδύν, ἄλυπον·
οὔ ποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται,
ἔστ' ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσιν
παῖς διαπομπεύῃ, προπόσεις ἐπιδέξια νωμῶν,
παννυχίδας θ' ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν,
πλάστιγξ θ' ἡ χαλκοῦ θυγάτηρ ἐπ' ἄκραισι καθίζῃ
κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν.

καὶ πᾶς χαλκός, ὅτις κοσμεῖ δόμον ἔν τινι χρείᾳ·
  Φοίνικες δ' εὗρον γράμματ' ἀλεξίλογα·
Θήβη δ' ἁρματόεντα δίφρον συνεπήξατο πρώτη·
  φορτηγοὺς δ' ἀκάτους Κᾶρες, ἁλὸς ταμίαι·
τὸν δὲ τροχοῦ γαίης τε καμίνου τ' ἔκγονον εὗρεν,
  κλεινότατον κέραμον, χρήσιμον οἰκονόμον,
ἡ τὸ καλὸν Μαραθῶνι καταστήσασα τρόπαιον.

2. [2.]

Καὶ τόδ' ἔθος Σπάρτῃ μελέτημά τε κείμενόν ἐστιν,
  πίνειν τὴν αὐτὴν οἰνοφόρον κύλικα,
μηδ' ἀποδωρεῖσθαι προπόσεις ὀνομαστὶ λέγοντα,
  μηδ' ἐπὶ δεξιτερὰν χεῖρα κυκλοῦν θιάσου
* * * * * * *
  ἄγγεα Λυδὴ χεὶρ εὗρ' Ἀσιατογενής,
καὶ προπόσεις ὀρέγειν ἐπιδέξια, καὶ προκαλεῖσθαι
  ἐξονομακλήδην, ᾧ προπιεῖν ἐθέλει·
εἶτ' ἀπὸ τοιούτων πόσεων γλώσσας τε λύουσιν
  εἰς αἰσχροὺς μύθους, σῶμά τ' ἀμαυρότερον
τεύχουσιν· πρὸς δ' ὄμματ' ἀχλὺς ἀμβλωπὸς ἐφίζει·
  λῆστις δ' ἐκτήκει μνημοσύνην πραπίδων·
νοῦς δὲ παρέσφαλται· δμῶες δ' ἀκόλαστον ἔχουσιν
  ἦθος· ἐπεισπίπτει δ' οἰκοτριβὴς δαπάνη·
οἱ Λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον,
  ὥστε φρέν' εἰς ἱλαρὰν ἀσπίδα πάντ' ἀπάγειν,
εἴς τε φιλοφροσύνην γλῶσσαν μέτριόν τε γέλωτα·
  τοιαύτη δὲ πόσις σώματί τ' ὠφέλιμος
γνώμῃ τε κτήσει τε· καλῶς δ' εἰς ἔργ' Ἀφροδίτης,
  πρός θ' ὕπνον ἥρμοσται, τὸν καμάτων λιμένα,
πρὸς τὴν τερπνοτάτην τε θεῶν θνητοῖς Ὑγίειαν,
  καὶ τὴν Εὐσεβίης γείτονα Σωφροσύνην.
* *
αἱ γὰρ ὑπὲρ τὸ μέτρον κυλίκων προπόσεις παραχρῆμα
  τέρψασαι λυποῦσ' εἰς τὸν ἅπαντα χρόνον·
ἡ Λακεδαιμονίων δὲ δίαιθ' ὁμαλῶς διάκειται,
  ἔσθειν καὶ πίνειν σύμμετρα πρὸς τὸ φρονεῖν
καὶ τὸ πονεῖν εἶναι δυνατούς· οὐκ ἔστ' ἀπότακτος
  ἡμέρα οἰνῶσαι σῶμ' ἀμέτροισι πότοις.

ΕΙΣ ΑΛΚΙΒΙΑΔΗΝ.

3. [3.]

Καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω,
 Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις·
οὐ γάρ πως ἦν τοὔνομ' ἐφαρμόζειν ἐλεγείῳ·
 νῦν δ' ἐν ἰαμβείῳ κείσεται οὐκ ἀμέτρως.

4. [2.]

Γνώμη δ' ἥ σε κατήγαγ', ἐγὼ ταύτην ἐν ἅπασιν
 εἶπον καὶ γράψας τοὔργον ἔδρασα τόδε·
σφραγὶς δ' ἡμετέρης γλώσσης ἐπὶ τοῖςδεσι κεῖται.

5. [4.]

Πλοῦτον μὲν Σκοπαδῶν, μεγαλοφροσύνην δὲ Κίμωνος,
 νίκας δ' Ἀρκεσίλα τοῦ Λακεδαιμονίου.

6. [5.]

Ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί.

ΕΠΗ.

7. [7.]

Τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ' ᾠδάς
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ' ἀνῆγεν,
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
αὐλῶν ἀντίπαλον, φιλοβάρβιτον, ἡδύν, ἄλυπον·
οὔ ποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται,
ἔστ' ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσιν
παῖς διαπομπεύῃ, προπόσεις ἐπιδέξια νωμῶν,
παννυχίδας θ' ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν,
πλάστιγξ θ' ἡ χαλκοῦ θυγάτηρ ἐπ' ἄκραισι καθίζῃ
κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν.

XXXI.

IOPHON.

Κρύπτω τῷδε τάφῳ Σοφοκλῆν πρωτεῖα λαβόντα
τῇ τραγικῇ τέχνῃ, σχῆμα τὸ σεμνότατον.

XXXII.

SOCRATES.

1.

Αἴσωπός ποτ' ἔλεξε Κορίνθιον ἄστυ νέμουσιν
μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίῃ.

ΠΡΟΟΙΜΙΟΝ.

2.

Δήλι' Ἄπολλον χαῖρε καὶ Ἄρτεμι, παῖδε κλεεινώ.

3.

Οἳ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι
ἐν πολέμῳ.

XXXIII.

ANTIMACHUS.

ΛΥΔΗ.

1.

Φεύγοντας γαίης ἔκτοθι Δωτιάδος.

2.

Γενεᾶ Καβάρνους θῆκεν ἀγακλέας ὀργειῶνας.

3.

Εἶπε δὲ φωνήσας· Πόλυβε, θρεπτήρια τάσδε
ἵππους τοι δώσω δυσμενέων ἐλάσας.

10.

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ᾽ ἡμετέρης.

11.

Ναυηγοῦ τάφος εἰμί· ὁ δ᾽ ἀντίον ἐστὶ γεωργοῦ·
ὡς ἁλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ᾽ Ἀΐδης.

12.

Ναυηγόν με δέδορκας· ὃν οἰκτείρασα θάλασσα
γυμνῶσαι πυμάτου φάρεος ᾐδέσατο,
ἄνθρωπος παλάμῃσιν ἀταρβήτοις μ᾽ ἀπέδυσεν,
τόσσον ἄγος τόσσου κέρδεος ἀράμενος·
κεῖνο μὲν ἐνδύσαιτο καὶ εἰν Ἀΐδαο φέροιτο,
καί μιν ἴδοι Μίνως τοὐμὸν ἔχοντα ῥάκος.

13.

Πλωτῆρες σώζοισθε καὶ εἰν ἁλὶ καὶ κατὰ γαῖαν·
ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.

14.

Ἀστέρας εἰςαθρεῖς ἀστὴρ ἐμός· εἴθε γενοίμην
οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

15.

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἑῷος,
νῦν δὲ θανὼν λάμπεις Ἕσπερος ἐν φθιμένοις.

16.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσαν
παισὶ λιθοβλήτου παίγνιον εὐστοχίης·
πάντας δ᾽ ἀκρεμόνας τε καὶ εὐθαλέας ὀροδάμνους
κέκλασμαι, πυκιναῖς χέρμασι βαλλομένη·
δένδρεσιν εὐκάρποις οὐδὲν πλέον· ἦ γὰρ ἔγωγε
δυςδαίμων ἐς ἐμὴν ὕβριν ἐκαρποφόρουν.

17.

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπεν βρόχον· αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρὼν ἧψεν ὃν εὗρε βρόχον.

4.

Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἡ τὸν ἐραστῶν
ἑσμὸν ἐνὶ προθύροις Λαῒς ἔχουσα νέων,
τῇ Παφίῃ τὸ κάτοπτρον· ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
οὐκ ἐθέλω· οἵη δ' ἦν πάρος οὐ δύναμαι.

5.

Τὸν Νυμφῶν θεράποντα, φιλόμβριον, ὑγρὸν ἀοιδόν,
τὸν λιβάσιν κούφαις τερπόμενον βάτραχον
χαλκῷ μορφώσας τις ὁδοιπόρος εὖχος ἔθηκεν,
καύματος ἐχθροτάτην δίψαν ἀκεσσάμενος.
πλαζομένῳ γὰρ ἔδειξεν ὕδωρ, εὔκαιρον ἀείσας
κοιλάδος ἐκ δροσερῆς ἀμφιβίῳ στόματι.
[φωνὴν δ' ἡγήτειραν ὁδοιπόρος οὐκ ἀπολείπων
εὗρε πόσιν γλυκερῶν ὧν ἐπόθη ναμάτων.]

6.

Ἄρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε καὶ φίλος ἀστοῖς,
Πίνδαρος, εὐφώνων Πιερίδων πρόπολος.

7.

Δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶν
Μοῖραι ἐπέκλωσαν δή ποτε γεινομέναις·
σοὶ δέ, Δίων, ῥέξαντι καλῶν ἐπινίκιον ἔργων
δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν·
κεῖσαι δ' εὐρυχόρῳ ἐν πατρίδι τίμιος ἀστοῖς,
ὦ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων.

8.

Νῦν ὅτε μηδὲν Ἄλεξις, ὅσον μόνον εἶφ', ὅτι καλός
ὦπται καὶ πάντῃ πᾶσι περιβλέπεται.
θυμέ, τί μηνύεις κυσὶν ὀστέον; εἶτ' ἀνιήσει
ὕστερον· οὐχ οὕτω Φαῖδρον ἀπωλέσαμεν;

9.

Οἵδε ποτ' Αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες
Ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
χαῖρε κλυτή ποτε πατρὶς Ἐρέτρια, χαίρετ' Ἀθῆναι,
γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη.

10.

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.

11.

Ναυηγοῦ τάφος εἰμί· ὁ δ' ἀντίον ἐστὶ γεωργοῦ·
ὡς ἁλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' Ἀΐδης.

12.

Ναυηγόν με δέδορκας· ὃν οἰκτείρασα θάλασσα
γυμνῶσαι πυμάτου φάρεος ᾐδέσατο,
ἄνθρωπος παλάμῃσιν ἀταρβήτοις μ' ἀπέδυσεν,
τόσσον ἄγος τόσσον κέρδεος ἀράμενος·
κεῖνο μὲν ἐνδύσαιτο καὶ εἰν Ἀΐδαο φέροιτο,
καί μιν ἴδοι Μίνως τοὐμὸν ἔχοντα ῥάκος.

13.

Πλωτῆρες σώζοισθε καὶ εἰν ἁλὶ καὶ κατὰ γαῖαν·
ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.

14.

Ἀστέρας εἰςαθρεῖς ἀστὴρ ἐμός· εἴθε γενοίμην
οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

15.

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἑῷος,
νῦν δὲ θανὼν λάμπεις Ἕσπερος ἐν φθιμένοις.

16.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσαν
παισὶ λιθοβλήτου παίγνιον εὐστοχίης·
πάντας δ' ἀκρεμόνας τε καὶ εὐθαλέας ὀροδάμνους
κέκλασμαι, πυκιναῖς χέρμασι βαλλομένη·
δένδρεσιν εὐκάρποις οὐδὲν πλέον· ἦ γὰρ ἔγωγε
δυςδαίμων ἐς ἐμὴν ὕβριν ἐκαρποφόρουν.

17.

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπεν βρόχον· αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρὼν ἧψεν ὃν εὗρε βρόχον.

18.

Χρυσὸν ἀνὴρ ὁ μὲν εὗρεν, ὁ δ' ὤλεσεν· ὧν ὁ μὲν εὑρών
ῥῖψεν, ὁ δ' οὐχ εὑρὼν λυγρὸν ἔδησε βρόχον.

19.

Αἰὼν πάντα φέρει· δολιχὸς χρόνος οἶδεν ἀμείβειν
οὔνομα καὶ μορφὴν καὶ φύσιν ἠδὲ τύχην.

20.

Ἐννέα τὰς Μούσας φασίν τινες· ὡς ὀλιγώρως·
ἠνίδε καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.

21.

Εἰκόνα πέντε βοῶν μικρὰ λίθος εἶχεν ἴασπις,
ὡς ἤδη πάσας ἔμπνοα βοσκομένας·
καὶ τάχα κἂν ἀπέφευγε τὰ βοίδια· νῦν δὲ κρατεῖται
τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

22.

Σιγάτω λάσιον Δρυάδων λέπας οἵ τ' ἀπὸ πέτρας
κρουνοὶ καὶ βληχὴ πουλυμιγὴς τοκάδων,
αὐτὸς ἐπεὶ σύριγγι μελίσδεται εὐκελάδῳ Πάν,
ὑγρὸν ἱεὶς ζευκτῶν χεῖλος ὑπὲρ καλάμων·
αἱ δὲ πέριξ θαλεροῖσι χορὸν ποσὶν ἐστήσαντο
Ὑδριάδες νύμφαι, νύμφαι Ἀμαδρυάδες.

23.

Ὑψίκομον παρὰ τάνδε καθίζεο φωνήεσσαν
φρίσσουσαν πυκνοῖς κῶνον ὑπὸ ζεφύροις,
καί σοι καχλάζουσιν ἐμοῖς παρὰ νάμασι σύριγξ
θελγομένων ἄξει κῶμα κατὰ βλεφάρων.

24.

Ἡ Παφίη Κυθέρεια δι' οἴδματος ἐς Κνίδον ἦλθεν,
βουλομένη κατιδεῖν εἰκόνα τὴν ἰδίην·
πάντῃ δ' ἀθρήσασα περισκέπτῳ ἐνὶ χώρῳ
φθέγξατο· ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;
Πραξιτέλης οὐκ εἶδεν ἃ μὴ θέμις, ἀλλ' ὁ σίδηρος
ἔξεσ', Ἄρης οἵαν ἤθελε τὴν Παφίην.

οὐδὲ πατρὸς λαθόμην Εὐήνορος, ὅς νιν ἔφυσε
  γνήσιον, Ἑλλήνων πρῶτα φέροντα τέχνης.

2.

Εἰ καὶ ἄπιστα κλύουσι, λέγω τάδε· φημὶ γὰρ ἤδη
  τέχνης εὑρῆσθαι τέρματα τῆςδε σαφῆ
χειρὸς ὑφ᾽ ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν
  οὖρος· ἀμώμητον δ᾽ οὐδὲν ἔγεντο βροτοῖς.

3.

Οἷος δ᾽ ἐννύχιον φαντάζετο πολλάκι φοιτῶν
  Παῤῥασίῳ δι᾽ ὕπνον, τοῖος ὅδ᾽ ἐστὶν ὁρᾶν.

XXXVIII.

PRAXITELES.

Πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν ἔρωτα,
  ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ· φίλτρα δὲ βάλλω
  οὐκέτ᾽ ὀϊστεύων, ἀλλ᾽ ἀτενιζόμενος.

XXXIX.

DIONYSIUS MINOR.

1.

Δωρίδος ἐκ μητρὸς Φοίβου κοινώμασι βλαστών.

2.

Χαῖρε, καὶ ἡδόμενος βίοτον διάσωζε τυράννου.

XLI.

ASTYDAMAS.

Εἴθ' ἐγὼ ἐν κείνοις γενόμην ἢ κεῖνοι ἅμ' ἡμῖν,
οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν,
ὡς ἐπ' ἀληθείης ἐκρίθην ἀφεθεὶς παράμιλλος·
νῦν δὲ χρόνῳ προέχουσ', ᾧ φθόνος οὐχ ἕπεται.

XLII.

PHILISCUS.

(Νῦν) ὦ Καλλιόπης θύγατερ, πολυηγόρε Φρόντι,
δείξεις, εἴ τι φρονεῖς καί τι περισσὸν ἔχεις·
τὸν γὰρ ἐς ἄλλο σχῆμα μεθαρμοσθέντα καὶ ἄλλοις
ἐν κόσμοισι βίου σῶμα λαβόνθ' ἕτερον,
δεῖ σ' ἀρετῆς κήρυκα τεκεῖν τινα λυσιδάϊμνον,
δύντα κατὰ φθιμένων, καὶ σοφῷ ἀθάνατον·
ὃς τό τ' ἐμῆς ψυχῆς δεῖξαι φιλέταιρον ἅπασιν,
καὶ τὴν τοῦ φθιμένου πᾶσι βροτοῖς ἀρετήν.

XLIII.

APHAREUS.

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκεν
Ζηνί, θεούς τε σέβων καὶ γονέων ἀρετήν.

XLIV.

SPEUSIPPUS.

Σῶμα μὲν ἐν κόλποις κατέχει τόδε γαῖα Πλάτωνος,
ψυχὴ δ' ἰσοθέων τάξιν ἔχει μακάρων.

XLV.

DEMOSTHENES.

Εἴπερ ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, εἶχες,
οὔ ποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

XLVI.

ARISTOTELES.

3.

ΠΡΟΣ ΕΥΔΗΜΟΝ.

Ἐλθὼν δ' ἐς κλεινὸν Κεκροπίης δάπεδον
εὐσεβέως σεμνῆς φιλίης ἱδρύσατο βωμὸν
ἀνδρός, ὃν οὐδ' αἰνεῖν τοῖσι κακοῖσι θέμις.
ὃς μόνος ἢ πρῶτος θνητῶν κατέδειξεν ἐναργῶς
οἰκείῳ τε βίῳ καὶ μεθόδοισι λόγων,
ὡς ἀγαθός τε καὶ εὐδαίμων ἅμα γίνεται ἀνήρ·
οὐ νῦν δ' ἔστι λαβεῖν οὐδενὶ ταῦτα ποτέ.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

4.

Τόνδε ποτ' οὐχ ὁσίως παραβὰς μακάρων θέμιν ἁγνὴν
ἔκτεινεν Περσῶν τοξοφόρων βασιλεύς,
οὐ φανερῶς λόγχῃ φονίοις ἐν ἀγῶσι κρατήσας,
ἀλλ' ἀνδρὸς πίστει χρησάμενος δολίου.

5.

(ΕΚ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΙΚΟΥ ΠΕΠΛΟΥ ΕΙΣ ΤΟΥΣ ΗΡΩΑΣ ΕΠΙΤΑΦΙΑ.) *)

1. [10.] *Ἐπὶ Ἀγαμέμνονος, κειμένου ἐν Μυκήναις.*

Λεύσσεις Ἀτρείδεω Ἀγαμέμνονος, ὦ ξένε, τύμβον,
ὃς θάν' ὑπ' Αἰγίσθου κουλομένης ἀλόχου.

---

*) Numeri cancellis additi sunt editionis Canterianae.

2. [11.] Ἐπὶ τοῦ αὐτοῦ ἕτερον.

Μνῆμα τόδ' Ἀτρείδεω Ἀγαμέμνονος, ὅν ῥα κατέκτα
δῖα Κλυταιμνήστρη Τυνδαρὶς οὐχ ὁσίως.

3. [12.] Ἐπὶ Μενελάου.

Ὄλβιος, ὦ Μενέλαε, σύ τ' ἀθάνατος καὶ ἀγήρως
ἐν μακάρων νήσοις, γαμβρὲ Διὸς μεγάλου.

4. [28.] Ἐπὶ Ἀχιλλέως, τιμωμένου ἐν Λεύκῃ τῇ νήσῳ.

Παῖδα θεᾶς Θέτιδος, Πηληϊάδην Ἀχιλῆα,
ἥδ' ἱερὰ νῆσος ποντιὰς ἀμφὶς ἔχει.

5. [29.] Ἐπὶ τοῦ αὐτοῦ, κειμένου ἐν Τροίῃ.

Θεσσαλὸς οὗτος ἀνὴρ Ἀχιλεὺς ἐν τῷδε τέθαπται
τύμβῳ, ἐθρήνησαν δ' ἐννέα Πιερίδες.

6. [30.] Ἐπὶ Πατρόκλου, κειμένου μετὰ Ἀχιλλέως.

Πατρόκλου τάφος οὗτος, ὁμοῦ δ' Ἀχιλῆϊ τέθαπται,
ὃν κτάνεν ὠκὺς Ἄρης Ἕκτορος ἐν παλάμαις.

7. [6.] Ἐπὶ Αἴαντος τοῦ Τελαμωνίου.

Ἅδ' ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ κειραμένα πλοκάμους,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, εἴπερ Ἀχαιοῖς
ἁ δολόφρων Ἀπάτα κρέσσον ἐμεῦ κέκριται.

8. [7.] Ἐπὶ Τεύκρου, κειμένου ἐν Σαλαμῖνι τῆς Κύπρου.

Ἰῶν ὠκυμόρων ταμίην Τελαμώνιον ἥδε
Τεῦκρον ἀποφθίμενον γῆ Σαλαμὶς κατέχει.

9. [13.] Ἐπὶ Νέστορος, κειμένου ἐν Πύλῳ.

Τὸν βαθύνουν, ψυχήν τε νόημά τε θεῖον ἔχοντα
ἄνδρ' ἀγαθὸν κατέχω, Νέστορα τὸν Πύλιον.

10. [14.] Ἐπὶ τοῦ αὐτοῦ ἕτερον.

Νέστορα τὸν Πυλίων ἡγήτορα ἥδε θανόντα
γῆ κατέχει βουλῇ φέρτατον ἡμιθέων.

11. [15.] Ἐπὶ Ἀντιλόχου, κειμένου ἐν Τροίῃ.

Μνῆμ' ἀρετῆς υἱοῦ τοῦ Νέστορος, Ἀντιλόχοιο,
ὃς θάνεν ἐν Τροίῃ ῥυσάμενος πατέρα.

12. [20.] *Ἐπὶ Ὀδυσσέως, κειμένου ἐν Τυῤῥηνίᾳ.*

Ἀνέρα τὸν πολύμητιν ἐπὶ χθονὶ τῇδε θανόντα,
κλεινότατον θνητῶν, τύμβος ἐπεσκίασεν.

13. [21.] *Ἐπὶ τοῦ αὐτοῦ ἕτερον.*

Οὗτος Ὀδυσσῆος κείνου τάφος, ὃν διὰ πολλὰ
Ἕλληνες πολέμῳ Τρωϊκῷ εὐτύχεσαν.

14. [8.] *Ἐπὶ Διομήδους, κειμένου ἐν τῇ ὁμωνύμῳ νήσῳ.*

Αἰνητὸν πάντεσσιν ἐπιχθονίοις Διομήδην
ἥδ' ἱερὰ κατέχει νῆσος ὁμωνυμίη.

15. [23.] *Ἐπὶ Ἰδομενέως καὶ Μηριόνου, κειμένων ἐν Κνωσσῷ.*

Κνωσσίου Ἰδομενῆος ὁρᾷς τάφον· αὐτὰρ ἐγώ τοι
πλησίον ἵδρυμαι Μηριόνης ὁ Μόλου.

16. [3.] *Ἐπὶ Αἴαντος τοῦ Οἰλέως, κειμένου ἐν Μυκόνῳ τῇ νήσῳ.*

Ἐνθάδε τὸν Λοκρῶν ἡγήτορα γαῖα κατέσχεν,
Αἴαντ' Οἰλιάδην ἐν πελάγει φθίμενον.

17. [26.] *Ἐπὶ Νιρέως, κειμένου ἐν Τροίᾳ.*

Ἐνθάδε τὸν κάλλιστον ἐπιχθονίων ἔχε γαῖα,
Νιρέα, τὸν Χαρόπου παῖδα καὶ Ἀγλαΐης.

18. [24.] *Ἐπὶ Τληπολέμου, κειμένου ἐν Ῥόδῳ.*

Ἅδ' Ἡρακλείδην ῥηξήνορα θυμολέοντα
Τληπόλεμον κατέχει κυματόεσσα Ῥόδος.

19. [2.] *Ἐπὶ Ἀσκαλάφου καὶ Ἰαλμένου.*

Ἀσκαλάφου Τροίῃ φθιμένου καὶ Ἰαλμένου ἥδε
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει.

20. [34.] *Ἐπὶ κενοταφίου Ποδαλειρίου καὶ Μαχάονος ἐν Τρίκκῃ.*

Οἵδ' Ἀσκληπιάδαι Ποδαλείριος ἠδὲ Μαχάων,
πρόσθεν μὲν θνητοί, νῦν δὲ θεῶν μέτοχοι.

21. [1.] *Ἐπὶ Πηνέλεω κειμένου ἐν Βοιωτίᾳ.*

Τόνδ' ἐπὶ Κηφισσῷ ποταμῷ θέσαν ὠκὺ ῥέοντι
παῖδες Βοιωτῶν σώφρονα Πηνέλεων.

22. [35.] Ἐπὶ Εὐρυπύλου, κειμένου ἐν Ὀρμενίῳ.

Πάτρῃ ἐν Ὀρμενίῳ Εὐαίμονος ἀγλαὸν υἱόν
  Εὐρύπυλον κρύπτει δακρυόεσσα κόνις.

23. [22.] Ἐπὶ Θόαντος.

Υἱὸν ὑπερθύμου Ἀνδραίμονος ἠδὲ θυγατρός
  Γόργης τῆς Οἰνέως ἥδε κόνις κατέχει.

24. [32.] Ἐπὶ Φιλοκτήτου.

Τόξων Ἡρακλέους ταμίην, Ποιάντιον υἱόν,
  ἥδε Φιλοκτήτην γῆ Μιννὰς κατέχει.

25. [19.] Ἐπὶ Μέγητος, ἀπολομένου ἐν θαλάσσῃ, ἔχοντος δὲ τάφον ἐν Δουλιχίῳ.

Μνῆμα Μέγητι θοῷ μεγαθύμου Φυλέος υἱῷ
  Δουλίχιοι τεῦξαν· σῶμα δὲ πόντος ἔχει.

26. [31.] Ἐπὶ Πρωτεσιλάου ἀδελφῷ Ποδάρκει, κειμένῳ ἐν Σικυῶνι.

Γῆ μὲν Ἀχαιὶς ἔθρεψε Ποδάρκην, Ἄκτορος υἱόν·
  ὀστέα δ' αὖ Συκυὼν γῆ κατέχει φθιμένου.

27. [36.] Ἐπὶ Πολυποίτου καὶ Λεοντέως.

Ἄρχοντες Λαπιθῶν Πολυποίτης ἠδὲ Λεοντεύς
  ἐν γαίῃ Μήδων τέρμ' ἀφίκοντο βίου.

28. [38.] Ἐπὶ Προθόου κενοταφίῳ.

Σῶμα μὲν ἐν πόντῳ Προθόου, Τενθρηδόνος υἱοῦ,
  κεῖται· ἀνοίκτιστον δ' οὔνομα τύμβος ἔχει.

29. [33.] Ἐπὶ Εὐμήλου.

Υἱὸς ὅδ' Ἀδμήτοιο, Φερητιάδης Εὔμηλος,
  νέρθ' ὑπ' ἐμοὶ κεῖται, μοῖραν ἔχων θανάτου.

30. [16.] Ἐπὶ Ἀγαπήνορος.

Ἀρχὸς ὅδ' ἐκ Τεγέης Ἀγαπήνωρ, Ἀγκαίου υἱός,
  κεῖθ' ὑπ' ἐμοί, Παφίων πελτοφόρων βασιλεύς.

31. [17.] Ἐπὶ Ἀμφιμάχ[illegible]

Ἄρχων Ἀμφίμαχος, Κτεάτου [illegible]ις, ἠδὲ [illegible]ης
  ἐνθάδ' ἐνὶ Τροίῃ μοῖραν ἔ[illegible] βίον.

32. [37.] Ἐπὶ Γουνέως.

Σῆμα τὸ μὲν Γουνῆος ὁρᾷς· ψυχὴ δὲ θανόντος
  ἀέρ' ἐς ὑγρὸν ἔβη, σῶμα δὲ πόντος ἔχει.

33. [4.] Ἐπὶ Ἐλεφήνορος, κειμένου ἐν Τροίᾳ.

Νήσου ἀπ' Εὐβοίης Ἐλεφήνορα, ἀρχὸν Ἀβάντων,
  ἐνθάδ' ἐνὶ Τροίῃ μοῖρα κατέσχε βίου.

34. [5.] Ἐπὶ Μενεσθέως, κειμένου ἐν Ἀθήναις.

Ταξίλοχος λαῶν, υἱὸς Πετεῶο Μενεσθεύς,
  ἐνθάδ' ἐνὶ κλεινῇ πατρίδι μοῖραν ἔχει.

35. [9.] Ἐπὶ Σθενέλου καὶ Εὐρυάλου, κειμένων ἐν Ἄργει.

Ἀργεῖος Σθένελος Καπανήϊος ὧδε τέθαπται
  τύμβῳ, καὶ τούτου πλησίον Εὐρύαλος.

36. [18.] Ἐπὶ Θαλπίου καὶ Πολυξένου, κειμένων ἐν Ἤλιδι.

Οἵδε Πολύξεινος καὶ Θάλπιος Ἤλιδι δίῃ
  δμηθέντες κρυεροῦ δῶμ' Ἀΐδαο ἔβαν.

37. [39.] Ἐπὶ Ταλθυβίου, κειμένου ἐν Μυκήναις.

Ταλθύβιον θεράποντα, θεῶν κήρυκα καὶ ἀνδρῶν,
  ὧδε Μυκηναίων δῆμος ἔθαψεν ἅπας.

38. [40.] Ἐπὶ Αὐτομέδοντος ἐν Τροίᾳ.

Αὐτομέδοντ', Ἀχιλῆϊ ἐὺν καὶ πιστὸν ἑταῖρον,
  ἥδε κατεσκίασε Τρῳὰς ἄρουρα τάφῳ.

39. [27.] Ἐπὶ Φειδίππου καὶ Ἀντίφου.

Φείδιππον Τροίην περσάντ' ἠδ' Ἄντιφον ἥρω
  γαῖα πατρὶς κώμη ἠδ' Ἐφύρα κατέχει.

40. [25.] Ἐπὶ Δηϊπύλου.

Δηϊπύλου κόρσης εὐειδέος Ὀρμενίοιο
  μνῆμα τόδ' εὐκλεινόν· γείνατο Τληπόλεμος.

41. [[illegible]] Ἐπὶ Ζήθου ἐν Θήβαις.

Ἑπταπ[illegible] βασιλεὺς ὅδε κεῖται ὑπόχθων
  Ζῆθος [illegible] γείνατο παῖδ' ἀγαθόν.

7**

42. [47.] Ἐπὶ Πυλάδου, ἐν Φωκίδι.

Υἱὸς ὅδε Στροφίου Πυλάδης ἐν Φωκίδι γαίῃ
κεῖται, ἐπεὶ παντὸς μοῖραν ἔπλησε βίου.

43. [44.] Ἐπὶ Αἰήτου, κειμένου ἐν Κολχίδι.

Αἰήτην Κόλχοισι πολυχρύσοισιν ἄνακτα
ἐνθάδε πανδαμάτωρ μοῖρα θεῶν κτέρισεν.

44. [48.] Ἐπὶ Ἀταλάντης ἐν Ἀρκαδίᾳ.

Κούρης Ἰασίοιο πολυκλείτης Ἀταλάντης
σῆμα πέλας στείχων ἀτρεκές ἐστι τόδε.

45. [43.] Ἐπὶ Λαομέδοντος.

Ἐνθάδε Περγαμίδην κεύθει χθὼν Λαομέδοντα,
ἵππων ὠκυπόδων εἵνεκ' ἀποφθίμενον.

46. [41.] Ἐπὶ Ἕκτορος, κειμένου ἐν Θήβαις.

Ἕκτορι τόνδε μέγαν Βοιώτιοι ἄνδρες ἔτευξαν
τύμβον ὑπὲρ γαίης, σῆμ' ἐπιγιγνομένοις.

47. [42.] Ἐπὶ Πυραίχμου ἐν Τροίῃ.

Ἐλθὼν ἐξ Ἀμυδῶνος ἀπ' Ἀξίου ὧδε Πυραίχμης
ὠκύμορος πάντων νόσφι φίλων ἔθανεν.

48. [46.] Ἐπὶ Ὀρφέως, κειμένου ἐν Κικονίᾳ.

Θρήϊκα χρυσολύρην Οἰάγρου παῖδα θανόντα
Ὀρφέα ἐν χώρῳ τῷδε θέσαν Κίκονες.

---

49. (Ἐπὶ Πρωτεσιλάου, ἐν Χεῤῥονήσῳ ἀναιρεθέντος.)

Τόνδ' ὄχθον μνήμην ἀρετῆς χάριν ἐξετέλεσσαν
Ἑλλήνων παῖδες Πρωτεσίλᾳ φθιμένῳ.

50. (Ἐπὶ Πανδάρου.)

Τηλεβόλον ῥυτῆρα, Λυκάονος ἀγλαὸν υἱόν,
ἐκ Ζελέας, κατέχει Πάνδαρον ἥδε κόνις.

51. (Ἐπὶ Δόλ[illegible]

Πατρὶς μὲν κρύπτει με Δόλων', [illegible]
πᾶσιν ἀπαγγέλλω τοῖς παρ[illegible]

52. (Ἐπὶ Ῥήσου.)

Ὕπνῳ καὶ καμάτῳ δεδμημένον ἐνθάδε Ῥῆσον
Τρῶες δὴ θάψαν Τευκρίδος αἰγιαλῷ.

53. (Ἐπὶ Σαρπηδόνος.)

Κᾶρες καὶ Λύκιοι βασιλεῖς Σαρπηδόνα δῖον
Ξάνθου ἐπὶ προχοαῖς ἀενάου ἔθεσαν.

54. (Ἐπὶ Γλαύκου.)

Εὐώδης Κυπάρισσος ὁμοῦ καὶ λάϊνος ὄχθος
ἐνθάδε τὸν Λύκιον Γλαῦκον ἔχει φθίμενον.

55. (Ἐπὶ Μέμνονος.)

Μέμνων Τιθωνοῦ τε καὶ Ἠοῦς ἐνθάδε κεῖμαι
ἐν Συρίῃ, Βήλου παρ ποταμοῦ προχοαῖς.

56. (Ἐπὶ Πείρωος καὶ Ἀκάμαντος.)

Πελτοφόρου Θρῄκης Ἀκάμας καὶ Πείροος ἥρως
ἕδραν ναίοντες τήνδ᾽ ἔλαχον φθίμενοι.

57. (Ἐπὶ Τληπολέμου κειμένου ἐν Τροίῃ.)

Τόνδ᾽ Ἡρακλείδην εὐήνορα τηλόθι πάτρης
Τληπόλεμον κρύπτει χῶρος ὅδ᾽ ἀνθεμόεις.

58. (Ἐπὶ Πυλαιμένους κειμένου ἐν Τροίῃ.)

Ἑρμεία, στερεᾶς πέτρης τέκος, ἔννεπε πᾶσιν
Παφλαγόνος μοῖραν τοῦδε Πυλαιμενέος.

59. (Ἐπὶ Αἰνείου.)

Αἰνείαν Κύπριδός τε καὶ Ἀγχίσου φίλον υἱόν
ἐνθάδε μοῖρα θεῶν ἤγαγεν εἰς Ἀΐδην.

60. (Ἐφ᾽ Ἕκτορος κειμένου ἐν Ὀφρυνίῳ λόφῳ τῆς Τροίας.)

Ἕκτορι τόνδε τάφον Πρίαμος μέγας ἐξετέλεσσεν
ὄχθον ὑπὲρ γαίης μνῆμ᾽ ἐπιγιγνομένοις.

61. (Ἐπὶ Πενθεσιλείας.)

Στήσω δὲ σπεύδοντα, δορύσσοε, Πενθεσιλείας
αἰπὺν ἐσαθρῆσαι τύμβον Ἀμαζονίδο.

62. (Ἐπὶ Κύκνου.)

Θυμὸν δὴ Κύκνου καὶ ὑπερφιάλους ἐπινοίας
αἰθὴρ λαμπρὸς ἔχει, σῶμα δὲ τύμβος ὅδε.

63. (Ἐπὶ Ἀσίου.)

Ἵππων ὠκυπόδων ἐλατὴρ θρασυκάρδιος . .
. . . . . .

ΙΑΜΒΟΙ.

6.

Εὐνοῦχος ὢν καὶ δοῦλος ἦρχεν Ἑρμίας.

ΜΕΛΗ.

7.

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –
– –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – –
x– – –́ ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓́
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏔ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Ἀρετά, πολύμοχθε γένει βροτείῳ
θήραμα κάλλιστον βίῳ,
σᾶς πέρι, παρθένε, μορφᾶς
καὶ θανεῖν ζηλωτὸς ἐν Ἑλλάδι πότμος
καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας·
τοῖον ἐπὶ φρένα βάλλεις

καρπόν τ' ἀθάνατον χρυσοῦ τε κρείσσω
καὶ γονέων μαλακαυγήτοιό θ' ὕπνου·
σεῦ δ' ἕνεχ' οὐκ Διὸς Ἡρακλέης Λήδας τε κοῦροι
πόλλ' ἀνέτλασαν ἔργοις
σὰν ἀγρεύοντες δύναμιν.
σοῖς δὲ πόθοις Ἀχιλεὺς Αἴας τ' Ἀΐδαο δόμους ἦλθον·
σᾶς δ' ἕνεκεν φιλίου μορφᾶς καὶ Ἀταρνέος ἔντροφος ἀελίου
χήρωσεν αὐγάς·
τοιγὰρ ἀοίδιμος ἔργοις, ἀθάνατόν τέ μιν αὐξήσουσι Μοῦσαι
Μναμοσύνας θύγατρες, Διὸς ξενίου σέβας αὔξουσαι φιλίας
τε γέρας βεβαίου.

* 8.

⏑ –́ ⏑ ⏑ – –́ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –
× – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ –
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
× – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – –

Τύχα, μερόπων ἀρχά,
καὶ τέρμα· τὺ καὶ σοφίας ἄκος δρᾷς,
καὶ τιμὰν βροτέοις ἐπέθηκας ἔργοις·
καὶ τὸ καλὸν πλέον ἢ κακὸν ἐκ σέθεν,
ἅ τε χάρις λάμπει περὶ σὰν πτέρυγα χρυσέαν·
καὶ τὸ τεᾷ πλάστιγγι δοθὲν μακαριστότατον τελέθει.
τὺ δ' ἀμαχανίας πόρον εἶδες ἐν ἄλγεσιν,
καὶ λαμπρὸν φάος ἄγαγες ἐν σκότῳ προφερεστάτα θεῶν.

XLVII.

CLEON (SICULUS).

Τοῦτο μὲν οὖν ῥέξαντες ἀολλέες ἠγερέθοντο
βαυριόθεν βριαροὶ Γοργοφόνου νέποδες.

XLVIII.

CRATES.

ΠΑΙΓΝΙΑ.

ΕΛΕΓΕΙΑ.

1.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
χόρτον ἐμῇ συνεχῶς δότε γαστέρι, ἥτε μοι αἰεὶ
χωρὶς δουλοσύνης λιτὸν ἔθηκε βίον.
* * *
ὠφέλιμον δὲ φίλοις, μὴ γλυκερὸν τίθετε.
χρήματα δ' οὐκ ἐθέλω συνάγειν κλυτά, κανθάρου ὄλβον
μύρμηκός τ' ἄφενος χρήματα μαιόμενος,
ἀλλὰ δικαιοσύνης μετέχειν καὶ πλοῦτον ἀγινεῖν
εὔφορον, εὔκτητον, τίμιον εἰς ἀρετήν.
τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ' ἁγνάς
οὐ δαπάναις τρυφεραῖς, ἀλλ' ἀρεταῖς ὁσίαις.

2.

ΥΜΝΟΣ ΕΙΣ ΕΥΤΕΛΕΙΑΝ.

Χαῖρε, θεὰ δέσποινα, σοφῶν ἀνδρῶν ἀγάπημα,
Εὐτελίη, κλεινῆς ἔγγονε Σωφροσύνης,
σὴν ἀρετὴν τιμῶσιν, ὅσοι τὰ δίκαι' ἀσκοῦσιν.

3.

Τῶν δὲ κράτει ψυχῆς ἤθει ἀγαλλομένη,
οὔθ' ὑπὸ χρυσείων δουλουμένη, οὔθ' ὑπ' ἐρώτων
τηξιπόθων.

ΕΠΗ.

4.

Καὶ μὴν καὶ Στίλπων' ἐσιδον χαλέπ' ἄλγε' ἔχοντα
ἐν Μεγάροις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς·

ἔνθα τ' ἐρίζεσκεν, πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι·
τὴν δ' ἀρετὴν παρὰ γράμμα διώκοντες κατέτριβον.

5.

Φλιάσιόν τ' Ἀσκληπιάδην καὶ ταῦρον Ἐρετρῆ.

6.

Καὶ μὴν Μίκυλον εἰςεῖδον . . . . .
τῶν ἐρίων ξαίνοντα γυναῖκά τε συγξαίνουσαν,
τὸν λιμὸν φεύγοντας ἐν αἰνῇ δηϊοτῆτι.

7.

Πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ
καλὴ καὶ πίειρα, περίρρυπος, οὐδὲν ἔχουσα,
εἰς ἣν οὔτε τις εἰςπλεῖ ἀνὴρ μωρὸς παράσιτος,
οὔτε λίχνος πόρνης ἐπαγαλλόμενος πυγῇσιν·
ἀλλὰ θύμον καὶ σκόρδα φέρει καὶ σῦκα καὶ ἄρτους·
ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους περὶ τούτων,
οὐχ ὅπλα κέκτηνται περὶ κέρματος, οὐ περὶ δόξης.

8. 9.

Οὐδ' ἔτι (σοί γε) συνέμποροί εἰσι, φίλυβρι
(Ἡδονή.) . . . .
Ἡδονῇ ἀνδραποδώδει ἀδούλωτοι καὶ ἄκαμπτοι
ἀθάνατον βασίλειαν ἐλευθερίαν τ' ἀγαπῶσιν.

10.

. . . . Μὴ πρὸ φακῆς λοπάδ' αὔξων
εἰς στάσιν ἄμμε βάλῃς.

12.

Ταῦτ' ἔχω, ὅσσ' ἔμαθον καὶ ἐφρόντισα, καὶ μετὰ Μουσῶν
σέμν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια τῦφος ἔμαρψεν.

13.

Ἕλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

14.

Στείχεις δὴ φίλε κύρτων
βαίνεις τ' εἰς ἀΐδαο δόμους κυφὸς διὰ γῆρας.

ΙΑΜΒΟΙ.

15.

Τίθει μαγείρῳ μνᾶς δέκ', ἰατρῷ δραχμήν,
κόλακι τάλαντα πέντε, συμβούλῳ καπνόν,
πόρνῃ τάλαντον, φιλοσόφῳ τριώβολον.

16.

Οὐκ οἶσθα, πήρα δύναμιν ἡλίκην ἔχει
θέρμων τε χοῖνιξ καὶ τὸ μηδενὸς μέλειν.

17.

Ἔρωτα παύει λιμός, εἰ δὲ μὴ χρόνος·
ἐὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ,
θεράπειά σοι τὸ λοιπὸν ἠρτήσθω βρόχος.

18.

Ὁ γὰρ χρόνος μ' ἔκαμψε, τέκτων μὲν σοφός,
ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.

19.

Ὠνείδισάς μοι γῆρας, ὡς κακὸν μέγα,
οὗ μὴ τυχόντι θάνατός ἐσθ' ἡ ζημία,
οὗ πάντες ἐπιθυμοῦμεν· ἂν δ' ἔλθῃ ποτέ,
ἀνιώμεθ'· οὕτως ἐσμὲν ἀχάριστοι φύσει.

20.

Κράτης Κράτητα χρημάτων ἀποστερεῖ.

22.

Οὐχ εἷς πάτρας μοι πύργος, οὐ μία στέγη,
πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος
ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα.

XLIX.
THEOCRITUS CHIUS.

Ἑρμίου εὐνούχου τε καὶ Εὐβούλου τόδε δούλου
μνῆμα κενὸν κενόφρων θῆκεν Ἀριστοτέλης·
ὃς διὰ τὴν ἀκρατῆ γαστρὸς φύσιν εἵλετο ναίειν
ἀντ' Ἀκαδημείας Βορβόρου ἐν προχοαῖς.

L.
MENANDER.

1.

Χαῖρε, Νεοκλείδα δίδυμον γένος, ὧν ὁ μὲν ὑμῶν
πατρίδα δουλοσύνας ῥύσαθ', ὁ δ' ἀφροσύνας.

LI. A.
HEDYLE.

ΣΚΥΛΛΑ.

Ἢ κόγχον δώρημα φέρων Ἐρυθρῆς ἀπὸ πέτρης,
ἢ τοὺς ἀλκυόνων παῖδας ἔτ' ἀπτερύγους,
τῇ νύμφῃ δυςπείστῳ ἀθύρματα· δάκρυ δ' ἐκείνου
καὶ Σειρὴν γείτων παρθένος οἰκτίσατο·
ἀκτὴν γὰρ κείνην ἀπονήχετο καὶ τὰ σύνεγγυς
Αἴτνης.

LI. B.

PHILETAS.

ΔΗΜΗΤΗΡ.

1. [1.] *)

Ἀλλ᾽ ὅτ᾽ ἐπὶ χρόνος ἔλθῃ, ὃς ἐκ Διὸς ἄλγεα πέσσειν
ἔλλαχε, καὶ πενθέων φάρμακα μοῦνος ἔχει.

2. [2.]

Καὶ γάρ τις μελέοιο κορεσσάμενος κλαυθμοῖο
κήδεα δειλαίων εἷλεν ἀπὸ πραπίδων.

3. [3.]

Νῦν δ᾽ αἰεὶ πέσσω· τὸ δ᾽ ἀέξεται ἄλλο νεωρὲς
πῆμα, κακοῦ δ᾽ οὔπω γίγνεται ἡσυχίη.

ΕΡΜΗΝΕΙΑ.

4. [6.]

Λευγαλέος δὲ χιτὼν πεπινωμένος, ἀμφὶ δ᾽ ἀραιὴ
ἰξὺς εἰλεῖται κόμμα μελαγκράνινον.

ΠΑΙΓΝΙΑ.

5. [9.]

Οὔ μέ τις ἐξ ὀρέων ἀποφώλιος ἀγροιώτης
αἱρήσει κλήθρην, αἱρόμενος μακέλην,
ἀλλ᾽ ἐπέων εἰδὼς κόσμον καὶ πολλὰ μογήσας,
μύθων παντοίων οἶμον ἐπιστάμενος.

6. [10.]

Ἐκ θυμοῦ κλαῦσαί με τὰ μέτρια, καί τι προσηνὲς
εἰπεῖν, μεμνῆσθαί τ᾽ οὐκ ἔτ᾽ ἐόντος ὅμως.

---

*) Numeri adiecti sunt editionis Bachianae.

ΑΔΗΛΑ.

7. [13.]

Τῷ οὔ μοι πολέων γαίης ὕπερ οὐδὲ θαλάσσης
ἐκ Διὸς ὡραίων ἔσχομεν ὧν ἐτέων·
οὐδ᾽ ἀπὸ μοῖρα κακῶν μελέῳ φέρει, ἀλλὰ μένουσιν
ἔμπεδα, καὶ (πρὸς) τοῖς ἄλλα προσαυξάνεται.

8. [14.]

Φλιοῦς γάρ πόλις ἐστί, Διωνύσου φίλος υἱός
Φλιοῦς ἥν αὐτὸς δείματο λευκόλοφος.

9. [15.]

Τά οἵ ποτε Κύπρις ἑλοῦσα
μῆλα Διωνύσου δῶκεν ἀπὸ κροτάφων.

10. [16.]

Γηρύσαιτο δὲ νεβρὸς ἀπὸ ψυχὴν ὀλέσασα,
ὀξείης κάκτου τύμμα φυλαξαμένη.

11. [17.]

Βουγενέας φαμενὸς προσεβήσατο μακρὰ μελίσσας.

12.

Καί κεν Ἀθηναίης δολιχαόρου ἱερὸν ἄστυ.

13 [19.]

Λύσατο δ᾽ ἐν προχοῇσι μελαμπέτροιο Θυρίννης.

14. [18.]

Δμωΐδες εἰς ταλάρους λευκὸν ἄγουσιν ἔρι.

15. [20.]

Οὐδ᾽ ὕκης ἰχθὺς ἔσχατος ἐξέφυγεν.

16.

Ἀγαθὴ δ᾽ ἐπὶ ἤθεσιν αἰδώ.

LII.

HERMESIANAX.

ΛΕΟΝΤΙΟΝ.

ΒΙΒΛΙΟΝ Α.

1.

Δερκόμενος πρὸς κῦμα, μόνη δέ οἱ ἐφλέγετο γλήν.

ΒΙΒΛΙΟΝ Γ.

2.

Οἵην μὲν φίλος υἱὸς ἀνήγαγεν Οἰάγροιο
Ἀργιόπην, Θρῇσσαν στειλάμενος κιθάρην,
Ἀιδόθεν· ἔπλευσεν δὲ κακὸν καὶ ἀπεχθέα χῶρον,
ἔνθα Χάρων ἀκοὴν ἕλκεται εἰς ἄκατον
ψυχὰς οἰχομένων· λίμνη δ' ἐπὶ μακρὸν ἀϋτεῖ
ῥεῦμα διὲκ μεγάλων ῥυομένη δονάκων.
ἀλλ' ἔτλη παρὰ κῦμα μονόζωστος κιθαρίζων
Ὀρφεύς, παντοίους δ' ἐξεπάεισε θεούς,
Κωκυτόν τ' ἀθέμιστον ἐπ' ὀφρύσι μειδήσαντα
ἠδὲ καὶ αἰνοτάτου βλέμμ' ὑπέμεινε κυνός,
ἐν πυρὶ μὲν φωνὴν τεθοωμένου, ἐν πυρὶ δ' ὄμμα
σκληρόν, τριστοίχοις δεῖμα φέρων κεφαλαῖς.
ἔνθεν ἀοιδιάων μεγάλους ἀνέπεισεν ἄνακτας
Ἀργιόπην μαλακοῦ πνεῦμα λαβεῖν βιότου.

Οὐ μὴν οὐδ' υἱὸς Μήνης ἀγέραστον ἔθηκεν
Μουσαῖος, Χαρίτων ἤρανος, Ἀντιόπην,
ἥτε πολὺν μύστῃσιν Ἐλευσῖνος παρὰ πέζαν
εὐασμὸν κρυφίων ἐξεφόρει λογίων,
Ῥάριον ὀργίων ἀνέμω διαποιπνύουσα
Δήμητρα· γνωστὴ δ' ἐστὶ καὶ εἰν Ἀΐδῃ.

Φημὶ δὲ καὶ Βοιωτὸν ἀποπρολιπόντα μέλαθρον
Ἡσίοδον, πάσης ἤρανον ἱστορίης,
Ἀσκραίων ἐσικέσθαι ἑκόνθ' Ἑλικωνίδα κώμην·
ἔνθεν ὅγ' Ἠοίην μνώμενος Ἀσκραΐκήν

πόλλ' ἔπαθεν, πάσας δὲ λόγων ἀνεγράψατο βίβλους,
  ὕμνων ἐκ πρώτης παιδὸς ἀπαρχόμενος.

Αὐτὸς δ' οὗτος ἀοιδός, ὃν ἐκ Διὸς αἶσα φυλάσσει,
  ἤδει τὸν πάντων δαίμονα μουσοπόλων,
λεπτὴν δ' αἷς Ἰθάκην ἐνετείνετο θεῖος Ὅμηρος
  ᾠδῇσιν πινυτῆς εἵνεκα Πηνελόπης,
ἣν διὰ πολλὰ παθὼν ὀλίγην ἐσενάσσατο νῆσον
  πολλὸν ἀπ' εὐρείης λειπόμενος πατρίδος·
ἔκλεε δ' Ἰκαρίου τε γένος καὶ δῆμον Ἀμύκλου
  καὶ Σπάρτην ἰδίων ἁπτόμενος παθέων.

Μίμνερμος δέ, τὸν ἡδὺν ὃς εὕρετο πολλὸν ἀνατλάς
  ἦχον καὶ μαλακοῦ πνεῦμ' ἀπὸ πενταμέτρου,
καίετο μὲν Ναννοῦς, πολιῷ δ' ἐπὶ πολλάκι λωτῷ
  κημωθεὶς κώμους εἶχε σὺν Ἐξαμύῃ·
δήχθη δ' Ἑρμόβιον τὸν ἀεὶ βαρὺν ἠδὲ Φερεκλῆν
  ἐχθρὸν μισήσας, οἷ' ἀνέπεμψαν ἔπη.

Λύδης δ' Ἀντίμαχος Λυδηΐδος ἐκ μὲν ἔρωτος
  πληγεὶς Πακτωλοῦ ῥεῦμ' ἐπέβη ποταμοῦ,
Δαρδανίῃ δὲ θανοῦσαν ὑπὸ ξηρὴν θέτο γαῖαν
  κλαίων, Αἰζάνιον δ' ἦλθεν ἀποπρολιπών
ἄκρην ἐς Κολοφῶνα· γόων δ' ἐνεπλήσατο βίβλους
  ἱράς, ἐκ παντὸς παυσάμενος καμάτου.

Λέσβιος Ἀλκαῖος δὲ πόσους ἀνεδέξατο κώμους,
  Σαπφοῦς φορμίζων ἱμερόεντα πόθον,
γιγνώσκεις· ὁ δ' ἀοιδὸς ἀηδόνος ἠράσαθ' ὕμνων,
  Τήϊον ἀλγύνων ἄνδρα πολυφραδίῃ.
καὶ γὰρ τὴν ὁ μελιχρὸς ἐφημιλλήσατ' Ἀνακρέων
  στελλομένην πολλαῖς ἄμμιγα Λεσβιάσιν.
φοίτα δ' ἄλλοτε μὲν λείπων Σάμον, ἄλλοτε δ' αὐτήν
  οἰνηρὴν οὔρει κεκλιμένην πατρίδα,
Λέσβον ἐς εὔοινον· τὸ δὲ Μύσιον εἴσιδε Λεκτόν
  πολλάκις Αἰολικοῦ κύματος ἀντιπέρας.

Ἀτθὶς δ' οἷα μέλισσα πολυπρήωνα Κολώνην
λείπουσ' ἐν τραγικαῖς ἦδε χοροστασίαις
Βάκχον καὶ τὸν ἔρωτ' ἐγέραιρε Θεωρίδος . .
. . . . Ζεὺς ἔπορεν Σοφοκλεῖ.

Φημὶ δὲ κἀκεῖνον τὸν ἀεὶ πεφυλαγμένον ἄνδρα
καὶ πάντων μῖσος κτώμενον ἐξ ὀνύχων
πάσας ἀμφὶ γυναῖκας, ὑπὸ σκολιοῖο τυπέντα
τόξου, νυκτερινὰς οὐκ ἀποθέσθ' ὀδύνας,
ἀλλὰ Μακηδονίης πάσας κατενίσατο λαύρας
Αἰγάων, μεθέπεν δ' Ἀρχέλεω ταμίην,
εἰσόκε σοὶ δαίμων, Εὐριπίδη, εὗρετ' ὄλεθρον
Ἀμφιβίου στυγνῶν ἀντιάσαντι κυνῶν.

Ἄνδρα δὲ τὸν Κυθέρηθεν, ὃν ἐθρέψαντο τιθῆναι
Βάκχου, τὸν λωτοῦ πιστότατον ταμίην,
Μούσαις παιδευθέντα Φιλόξενον, οἷα τιναχθείς
Ὀρτυγίην ταύτης ἦλθε διὰ πτόλεως,
γιγνώσκεις, ἀΐουσα μέγαν πόθον, ὃν Γαλατείης
αὐτοῖς μηλείοις θῆκαθ' ὑπὸ προγόνοις.

Οἶσθα δὲ καὶ τὸν ἀοιδόν, ὃν Εὐρυπύλου πολιῆται
Κῷοι χάλκειον θῆκαν ὑπὸ πλατάνῳ,
Βαττίδα μολπάζοντα θερῆν πυρί, πάντα Φιλητᾶν
ῥήματα καὶ πᾶσαν ῥυόμενον λαλιήν.

Οὐδὲ μὲν οὐδ' ὁπόσοι σκληρὸν βίον ἐστήσαντο
ἀνθρώπων, σκολιὴν μαιόμενοι σοφίην,
οὓς αὐτὴ περὶ πυκνὰ λόγοις ἐσφίγξατο μῆτις,
καὶ δεινὴ μύθων κῦδος ἔχουσ' ἀρετή,
οὐδ' οἳ κεῖνον ἔρωτος ἀπεστρέψαντο κυδοιμὸν
φαινομένου, δεινὸν δ' ἦλθον ὑφ' ἡνίοχον.

Οἵη μὲν Σάμιον μανίη κατέδησε Θεανοῦς
Πυθαγόρην, ἑλίκων κομψὰ γεωμετρίης
εὑρόμενον, καὶ κύκλον ὅσον περιβάλλεται αἰθὴρ
βαιῇ ἐνὶ σφαίρῃ πάντ' ἀποτασσόμενον.

Οἵῳ δ' ἐχλίηνεν, ὃν ἔξοχον ἔχρη Ἀπόλλων
ἀνθρώπων εἶναι Σωκράτη ἐν σοφίῃ,
Κύπρις μηνίουσα πυρὸς μένει· ἐκ δὲ βαθείης
ψυχῆς κουφοτέρας ἐξεπόνησ' ἀνίας,
οἰκί' ἐς Ἀσπασίης πωλεύμενος· οὐδέ τι τέκμαρ
εὗρε, λόγων πολλὰς εὑρόμενος διόδους.

Ἄνδρα Κυρηναῖον δ' εἴσω πόθος ἔσπασεν Ἰσθμοῦ
δεινός, ὅτ' Ἀπιδανῆς Λαΐδος ἠράσατο
ὀξὺς Ἀρίστιππος, πάσας δ' ἠνήνατο λέσχας
φεύγων εὐλιμένων ἐξ Ἐφύρης ὁρίων.

LIII.

TIMON.

ΙΝΔΑΛΜΟΙ.

1.

Ἡ γὰρ ἐγὼν ἐρέω, ὥς μοι καταφαίνεται εἶναι,
μῦθον ἀληθείης ὀρθὸν ἔχων κανόνα,
ὡς ἡ τοῦ θείου τε φύσις καὶ τἀγαθοῦ αἰεί,
ἐξ ὧν ἰσότατος γίνεται ἀνδρὶ βίος.

* 2.

Ῥῆστα μεθ' ἡσυχίης
αἰεὶ ἀφροντίστως καὶ ἀκινήτως κατὰ ταὐτά,
μὴ προσέχων δειλοῖς ἡδυλόγου σοφίης.

* 3.

Οὔτ' ἀγαθὸν . . . ἔστιν φύσει οὔτε κακόν τι,
ἀλλὰ πρὸς ἀνθρώπων ταῦτα νόῳ κέκριται.

* 4.

Ἀλλὰ τὸ φαινόμενον πάντῃ σθένει, οὗπερ ἂν ἔλθῃ.

* 5.

Μοῦνος δ' ἀνθρώποισι θεοῦ τρόπον ἡγεμονεύεις,
ὃς περὶ πᾶσαν ἑλῶν γαῖαν ἀναστρέφεται,
δεικνὺς εὐτόρνου σφαίρας πυρικαύτορα κύκλον.

LIV.

ALEXANDER AETOLUS.

ΑΠΟΛΛΩΝ.

1.

Παῖς Ἱπποκλῆος Φοβίος Νειληϊάδαο
ἔσται ἰθαιγενέων γνήσιος ἐκ πατέρων·
τῷ δ' ἄλοχος μνηστὴ δόμον ἵξεται, ἧς ἔτι νύμφης
ἠλάκατ' ἐν θαλάμοις καλὸν ἑλισσομένης
Ἀσσησοῦ βασιλῆος ἐλεύσεται ἔκγονος Ἀνθεύς,
ὅρκι' ὁμηρείης πίστ' ἐπιβωσάμενος,
πρωθήβης, ἔαρος θαλερώτερος· οὐδὲ Μελίσσῳ
Πειρήνης τοιόνδ' ἀλφεσίβοιον ὕδωρ
θηλήσει μέγαν υἱόν, ἀφ' οὗ μέγα χάρμα Κορίνθῳ
ἔσται καὶ βριαροῖς ἄλγεα Βακχιάδαις·
Ἀνθεὺς Ἑρμείῃ ταχινῷ φίλος, ᾧ ἔπι νύμφη
μαινὰς ἄφαρ σχήσει τὸν λιθόλευστον ἔρων·
καί ἑ καθαψαμένη γούνων ἀτέλεστα κομίσσαι
πείσει· ὁ δὲ Ζῆνα ξείνιον αἰδόμενος
σπονδάς τ' ἐν Φοβίου καὶ ἅλα ξυνεῶνα θαλείης,
κρήναις καὶ ποταμοῖς νίψετ' ἀεικὲς ἔπος.
ἡ δ' ὅταν ἀρνῆται μελεὸν γάμον ἀγλαὸς Ἀνθεύς,
δὴ τότε οἱ τεύξει μητιόεντα δόλον,
μύθοις ἐξαπαφοῦσα· λόγος δέ οἱ ἔσσεται οὗτος·
γαυλός μοι χρύσεος φρείατος ἐκ μυχάτου
νῦν ὅτ' ἀνελκόμενος διὰ μὲν κακὸν ἤρικεν οὖσον,
αὐτὸς δ' ἐς Νύμφας ᾤχετ' ἐφυδριάδας·
πρὸς σὲ θεῶν, ἀλλ' εἴ μοι, ἐπεὶ καὶ πᾶσιν ἀκούω
ῥηϊδίην οἶμον τοῦδ' ἔμεναι στομίου,
ἰθύσας ἀνέλοιο, τότ' ἂν μέγα φίλτατος εἴης.
ὧδε μὲν ἡ Φοβίου Νηλεΐδαο δάμαρ
φθέγξεθ'. ὁ δ' οὐ φρασθεὶς ἀπὸ μὲν Λελεγήιον εἷμα
μητρὸς ἑῆς ἔργον θήσεται Ἑλλαμένης,
αὐτὸς δὲ σπεύδων κοῖλον καταβήσεται ἄγκος
φρείατος· ἡ δ' ἐπί οἱ λιρὰ νοεῦσα γυνή
ἀμφοτέραις χείρεσσι μυλακρίδα λᾶαν ἐνήσει·
καὶ τόθ' ὁ μὲν ξείνων πολλὸν ἀποτμότατος

ἠρίον ὀγκώσει τὸ μεμορμένον, ἡ δ' ὑπὸ δείρην
  ἀψαμένη, σὺν τῷ βήσεται εἰς Ἀΐδην.

ΜΟΥΣΑΙ.

2.

Ἀλλ' ὅγε πευθόμενος πάγχυ Γραικοῖσι μέλεσθαι
  Τιμόθεον, κιθάρης ἴδμονα καὶ μελέων,
υἱὸν Θερσάνδροιο, τὸν ἤνεσεν ἀνέρα σίγλων
  χρυσείων ἱερὴν δὴ τότε χιλιάδα
ὑμνῆσαι, ταχέων τ' Ὦπιν βλήτειραν ὀϊστῶν,
  ἥ τ' ἐπὶ Κεγχρίῳ τίμιον οἶκον ἔχει,

. . . .

  Μηδὲ θεῆς προλίπῃ Λητωΐδος ἀκλέα ἔργα.

ΕΞ ΑΔΗΛΩΝ.

3.

Οὓς Ἀγαθοκλῆος λάσιαι φρένες ἤλασαν ἔξω
  πατρίδος, ἀρχαίων ἦν ὅδ' ἀνὴρ προγόνων,
εἰδὼς ἐκ νεότητος ἀεὶ ξείνοισιν ὁμιλεῖν
  ξεῖνος, Μιμνέρμου δ' εἰς ἔπος ἄκρον ἰὼν
παιδομανεῖ σὺν ἔρωτι πότην ἴσον· ἔγραφε δ' ὠνὴρ
  εὖ παρ' Ὁμηρείην ἀγλαΐην ἐπέων
πισύγγους ἢ φῶρας ἀναιδέας ἤ τινα χλούνην,
  φλύων ἀνθηρῇ σὺν κακοδαιμονίῃ,
τοῖα Συρακοσίοις καὶ ἔχων χάριν· ὃς δὲ Βοιωτοῦ
  ἔκλυεν, Εὐβοίῳ τέρψεται οὐδ' ὀλίγον.

4.

Οἳ καὶ ἐπ' Ἀσκανίων δώματ' ἔχουσι ῥοῶν
λίμνης Ἀσκανίης ἐπὶ χείλεσιν, ἔνθα Δολίων
  υἱὸς Σειληνοῦ νάσσατο καὶ Μελίης.

5.

Ὁ δ' Ἀναξαγόρου τρόφιμος ἀρχαίου στρυφνὸς μὲν ἔοικε
  προσειπεῖν
καὶ μισογέλως καὶ τωθάζειν οὐδὲ παρ' οἶνον μεμαθηκώς,
ἀλλ' ὅτι γράψαι, τοῦτ' ἂν μέλιτος καὶ Σειρήνων ἐτετεύχει

LIV.

ALEXANDER AETOLUS.

ΑΠΟΛΛΩΝ.

1.

Παῖς Ἱπποκλῆος Φοβίος Νειληϊάδαο
  ἔσται ἰθαιγενέων γνήσιος ἐκ πατέρων·
τῷ δ᾽ ἄλοχος μνηστὴ δόμον ἵξεται, ἧς ἔτι νύμφης
  ἠλάκατ᾽ ἐν θαλάμοις καλὸν ἑλισσομένης
Ἀσσησοῦ βασιλῆος ἐλεύσεται ἔκγονος Ἀνθεύς,
  ὅρκι᾽ ὁμηρείης πίστ᾽ ἐπιβωσάμενος,
πρωθήβης, ἔαρος θαλερώτερος· οὐδὲ Μελίσσῳ
  Πειρήνης τοιόνδ᾽ ἀλφεσίβοιον ὕδωρ
θηλήσει μέγαν υἱόν, ἀφ᾽ οὗ μέγα χάρμα Κορίνθῳ
  ἔσται καὶ βριαροῖς ἄλγεα Βακχιάδαις·
Ἀνθεὺς Ἑρμείῃ ταχινῷ φίλος, ᾧ ἔπι νύμφη
  μαινὰς ἄφαρ σχήσει τὸν λιθόλευστον ἔρων·
καί ἑ καθαψαμένη γούνων ἀτέλεστα κομίσσαι
  πείσει· ὁ δὲ Ζῆνα ξείνιον αἰδόμενος
σπονδάς τ᾽ ἐν Φοβίου καὶ ἅλα ξυνεῶνα θαλείης,
  κρήναις καὶ ποταμοῖς νίψετ᾽ ἀεικὲς ἔπος.
ἡ δ᾽ ὅταν ἀρνῆται μελεὸν γάμον ἀγλαὸς Ἀνθεύς,
  δὴ τότε οἱ τεύξει μητιόεντα δόλον,
μύθοις ἐξαπαφοῦσα· λόγος δέ οἱ ἔσσεται οὗτος·
  γαυλός μοι χρύσεος φρείατος ἐκ μυχάτου
νῦν ὅτ᾽ ἀνελκόμενος διὰ μὲν κακὸν ἤρικεν οὖσον,
  αὐτὸς δ᾽ ἐς Νύμφας ᾤχετ᾽ ἐφυδριάδας·
πρὸς σὲ θεῶν, ἀλλ᾽ εἴ μοι, ἐπεὶ καὶ πᾶσιν ἀκούω
  ῥηϊδίην οἶμον τοῦδ᾽ ἔμεναι στομίου,
ἰθύσας ἀνέλοιο, τότ᾽ ἂν μέγα φίλτατος εἴης.
  ὧδε μὲν ἡ Φοβίου Νηλεΐδαο δάμαρ
φθέγξεθ᾽. ὁ δ᾽ οὐ φρασθεὶς ἀπὸ μὲν Λελεγήιον εἷμα
  μητρὸς ἑῆς ἔργον θήσεται Ἑλλαμένης,
αὐτὸς δὲ σπεύδων κοῖλον καταβήσεται ἄγκος
  φρείατος· ἡ δ᾽ ἐπί οἱ λιρὰ νοεῦσα γυνὴ
ἀμφοτέραις χείρεσσι μυλακρίδα λᾶαν ἐνήσει·
  καὶ τόθ᾽ ὁ μὲν ξείνων πολλὸν ἀποτμότατος

LVII.

CALLIMACHUS *).

ΕΛΕΓΕΙΑ.

ΑΙΤΙΑ.

ΒΙΒΛΙΟΝ Α.

* 1.

Ὄνειαρ
. . . κεράτων, οὐδ' ἐλέφαντος ἐόν.

* 2.

Μούσῃσι γὰρ ἦλθον ἐσόβδην.

* 3.

Ποιμένι μῆλα νέμοντι παρ' ἴχνιον ὀξέος ἵππου
Ἡσιόδῳ Μουσέων ἑσμὸς ὅτ' ἠντίασεν.

* 4.

Μνημοσύνης ἧ δ' ὧδε γόνου χαρίεντος ἔπισσα.

5. [11.]

Γηράσκει δ' ὁ γέρων κεῖνος ἐλαφρότερον,
κοῦροι τὸν φιλέουσιν, ἑὸν δέ μιν οἷα τοκῆα
χειρὸς ἐπ' οἰκείην ἄχρις ἄγουσι θύρην.

6. [234. 472.]

Ἄνδρες Ἀθηναῖοι Δεκελειόθεν ἀμπρεύοντες
ταῦρον ἐριμύκην, εἷς ἑνὸς ἀντερέτου . . .

7. [154.]

Τετράενον Δαμάσου παῖδα Τελεστορίδην,

---

*) Numeri adiecti sunt editionis Ernestianae.

* 8.

Ἵλαθί μοι Φαλαρῖτι, πυληράχε.

9. [13.]

Οἵη τε Τρίτωνος ἐφ' ὕδασιν Ἀσβύσταο.

10. [12.]

Ἀπ' ὀστλίγγων αἰὲν ἄλειφα ῥέει.

(ΛΙΝΟΣ.)

* 11. [127.]

Ἄρνες τοι φίλε κοῦρε συνήλικες, ἄρνες ἑταῖροι
ἔσκον, ἐνιαυθμοὶ δ' αὔλια καὶ βοτάναι.

* 12. [424.]

Μητέρας ἐξεκένωσεν, ἐκούφισθεν δὲ τιθῆναι.

* 13.

Ἀλλ' ἀντὶ βρεφέων πολλῶν ἴον εἴρενα μέσσον.

ΒΙΒΛΙΟΝ Β.

14 [106]

Καὶ γὰρ ἐγὼ τὰ μὲν ὅσσα καρήατι τῆμος ἔδωκα,
ξανθὰ σὺν εὐόδμοις ἁβρὰ λίπη στεφάνοις,
ἄπνοα πάντ' ἐγένοντο παραχρῆμ'· ὅσσα τ' ὀδόντων
ἔνδοθι, νειαίρην τ' εἰς ἀχάριστον ἔδυ,
καὶ τῶν οὐδὲν ἔμεινεν ἐς αὔριον· ὅσσα δ' ἀκουάς
εἰςεθέμην, ἔτι μοι μοῦνα πάρεστι τάδε.

15. [194.]

Τὴν κείνου Φάλαρις πρᾶξιν ἀπεπλάσατο.

16. [119.]

Πρῶτος ἐπεὶ τὸν ταῦρον ἐκαίνισεν, ὃς τὸν ὄλεθρον
εὗρε τὸν ἐν χαλκῷ καὶ πυρὶ γιγνόμενον.

17. [19.]

Ἡ μὲν ἀερτάζουσα μέγα τρύφος Ὑψιζώρου ἄστυρον εἰςανέβαινε.

18. [21.]

Οὕνεκεν οἰκτείρειν οἶδε μόνη πολίων.

19. [20.]

Ὥς τε Ζεὺς ἐράτιζε τριηκοσίους ἐνιαυτούς.

* 20.

Κρηνέων τ' Εὐρώπη μισγομένων ἑκατόν.

* 21. [147.]

Τῷ περιδηνήεντ' Ἀκμονίδην ἔβαλεν.

* 22. [172.]

Κέκρυπται γύπη ζάγκλον ὑποχθονίῃ.

* 23.

Τριγλώχιν ὀλοῷ νῆσος ἐπ' Ἐγκελάδῳ.

ΒΙΒΛΙΟΝ Γ.

(*ΚΥΔΙΠΠΗ.*)

* 24. [169.]

Μέμβλετο δ' εἰςπνήλαις, ὁππότε κοῦρος ἴοι φωλεὸν ἠὲ λόετρον.

* 25. [102.]

Πολλοὶ καὶ φιλέοντες Ἀκόντιον ἧκαν ἔραζε οἰνοπόται Σικελὰς ἐκ κυλίκων λατάγας.

26. [26.]

Ἀγραδέ τοι πάσῃσιν ἐπὶ προχάνῃσιν ἐφοίτα.

* 27. [101.]

Ἀλλ' ἐνὶ δὴ φλοιοῖσι κεκομμένα τόσσα φορεῖτε
γράμματα, Κυδίππην ὅσσ' ἐρέουσι καλήν.

* 28. [229.]

Αἶρος ἐγώ; τί δέ σοι τόνδ' ἐπέθηκα φόβον;

---

29. [27.]

Τὼς μὲν ὁ Μνησάρχειος ἔφη ξένος, ὧδε συναινῶ.

* 30. [293.]

Τὰ μὴ πατέουσιν ἅμαξαι,
τὰ στείβειν, ἑτέρων δ' ἴχνια μὴ καθ' ὁμά.

* 31. [128.]

Καὶ κυάμων ἄπο χεῖρας ἔχειν, ἀνιῶντος ἐδεστοῦ,
κἀγώ, Πυθαγόρας ὡς ἐκέλευε, λέγω.

ΒΙΒΛΙΟΝ Δ.

32. [32.]

Δειπνιὰς ἔνθεν μιν δειδέχαται.

* 33.

Ὁ δ' ἀείδων
Μαλλόες ἦλθε χορός.

* 34.

Καὶ νήσων ἐπέτεινε βαρὺν ζυγὸν αὐχένι Μίνως.

* 35.

(Ἄτερ αὐλῶν)
ῥέζειν καὶ στεφέων εὔαδε τῷ Παρίῳ.

ΕΞ ΑΔΗΛΩΝ ΒΙΒΛΙΩΝ.

(ΑΡΓΟΥΣ ΟΙΚΙΣΜΟΙ.)

36. [113.]

Ἄρχμενος, ὡς ἥρωες ἀπ' Αἰήταο Κυταίου
αὖτις ἐς ἀρχαίην ἔπλεον Αἱμονίην.

37. [113.]

Αἰγλήτην Ἀνάφην τε Λακωνίδι γείτονα Θήρῃ.

38. [112.]

Καλλίστη τὸ πάροιθε, τὸ δ' ὕστερον οὔνομα Θήρη,
μήτηρ εὐΐππου πατρίδος ἡμετέρης.

39 [122.]

Καὶ παρ' Ἀθηναίοις γὰρ ἐπὶ στέγος ἱερὸν ἧνται
καλπίδες, οὐ κόσμου σύμβολον, ἀλλὰ πάλης.

40. [281. 253.]

Σκέρβολα μυθήσαντο
Κηκάδι σὺν γλώσσῃ.

41. [277.]

Μαστύος ἀλλ' ὅτ' ἔκαμνον ἀλητύϊ.

42. [104.]

Οἱ μὲν ἐπ' Ἰλλυρικοῖο πόρον, σχάσσαντες ἐρετμά,
λᾶα παρὰ ξανθῆς Ἁρμονίης ὄφιος
ἄστυρον ἐκτίσσαντο, τὸ μὲν φυγάδων τις ἐνίσποι
Γραικός, ἀτὰρ κείνων γλῶσσ' ὀνόμηνε Πόλας.

43. [269.]

(*Οἳ*) *καὶ Ἀμαντίνην ᾤκισαν Ὠρικίην.*

(ΣΕΜΕΛΗ.)

44. [175.]

. . . . *Τὸν οὐκ ἔπλησε φέρουσα*
μήτηρ, οὐδ' ὤδιν', ἐννέα μῆνας (*ὅλους*).

* 45.

Κεῖθι δέ οἱ πρώτη μαζὸν ἐπέσχ' Ἐρίφη
χωρὶς ἀπ' ἀνθρώπων καὶ ἐπωνόμασ' Εἰραφιώτην.

---

46. [108.]

Τοῖς μὲν ἀρισκύδης εὖνις ἀνῆκε Διὸς
Ἄργος ἔχειν, ἴδιον περ ἐὸν λάχος, ἀλλὰ γενέθλη
Ζηνὸς ὅπως σκοτίῃ τρηχὺς ἄεθλος ἔοι.

47. [195.]

Μηκώνην μακάρων ἕδρανον αὖθις ἰδεῖν,
ἧχι πάλους ἐβάλοντο διεκρίναντό τε τιμὰς
πρῶτα γιγαντείου δαίμονες ἐκ πολέμου.

48. [203.]

Αἳ δὲ βαθυκρήμνοιο παρ' ἀγκύλον ἴχνος Ἀραίθου.

49. [159.]

Καὶ γλαρίδες σταφύλη τε καθιεμένη τε μολυβδίς.

50.

Λαοὶ Δευκαλίωνος ὅσοι (λάων) γενόμεσθα.

51. [154.]

Ἐν δὲ Πάρῳ καλαί τε καὶ αἰόλα βεῦδε' ἔχουσαι.

52.

Βουθοίη Δρίλωνος ἐπὶ προχοῇσιν ἐνάσθη.

53. [156.]

Ἐξ ἁλὸς οὐδ' ὕκην ἀνέρα Βουχέτιον
ἕλκειν.

54.

Πάλαι δ' ἔτι Θεσσαλὸς ἀνὴρ
ῥυστάζει φθιμένων ἀμφὶ τάφον φονέας.

55. [204.]

Ῥάμφεϊ κανθώδει τόργος ἔκοψε νέκυν.

56. [142.]

Τὸ δὲ σκύλον ὀνδρὶ καλύπτρη
γιγνόμενον, νιφετοῦ καὶ βελέων ἔρυμα.

57. [211.]

Θηρὸς ἀερτάζων δέρμα κατωμάδιον.

58. [322. 198.]

Ἱερὴν
Ἦλιν ἀνάσσεσθαι Διὸς οἰκίον ἔλλιπε Φυλεῖ.

59. [216.]

Σὺν δ' ἄμυδις φόρυτόν τε καὶ ἴπνια λύματ' ἄειρεν.

60. [161.]

Ξεῖνος ἐχιδναῖον νέρθεν ἄγων δάκετον.

61. [120.]

Χαῖρε βαρυσκίπων, ἐπίτακτα μὲν ἑξάκι δοιά,
ἐκ δ' αὐταγρεσίης πολλάκι πολλὰ καμών.

62. [136.]

Ἔκλυέ τοι, τῶν μηδὲν ἐμοὺς δι' ὀδόντας ὀλίσθοι,
Πηλεύς.

63. [218.]

Οὐδ' ἔτι δὴν Φθίων εἶχεν ἀνακτορίην.

64. [226.]

Εἰμὶ τέρας Καλυδῶνος, ἄγω δ' Αἰτωλὸν Ἄρηα.

65. [231.]

Ἡδομένη νεκάδεσσιν ἐπισκύρῶν πολέμοιο.

66.

Οἱ δ' ἕνεκ' Εὐρυνόμη Τιτηνιὰς εἶπον ἔτικτεν.

67. [224.]

Ἵππους καιετάεντος ἀπ' Εὐρώταο κομίσσαι.

68. [163.]

Ἐν Δίῃ· τὸ γὰρ ἔσκε παλαίτερον οὔνομα Νάξῳ.

69. [160.]

Γραικοὶ καὶ γαιης ἡμετέρης ἀδαεῖς.

70. [230.]

Ἁρμοῖ παρ Δαναῶν γῆς ἔπι βουγενέων.

71. [193.]

Ζηνί τε καὶ Νεμέῃ τι χαρίσιον ἕδνον ὀφείλω.

72. [250.]

Ἄξονται δ' οὐχ ἵππον ἀέθλιον, οὐ μὲν ἐχῖνον
βουδίκον.

73. [103.]

Καί μιν Ἀλητιάδαι πουλὺ γεγειότερον
τοῦδε παρ' Αἰγειῶνι θεῷ τελέοντες ἀγῶνα
θήσουσιν νίκης σύμβολον Ἰσθμιάδος
ζήλῳ τῶν Νεμέηθε· πίτυν δ' ἀποτιμήσουσιν,
ἣ πρὶν ἀγωνιστὰς ἔστεφε τοὺς Ἐφύρῃ.

74.

Δωδεκάκις περὶ δίφρον ἐπήγαγεν ἴθματα δίφρου.

75.

Ἀτράκιον δἤπειτα λυκοσπάδα πῶλον ἐλαύνει.

76. [197.]

Ἐργῖνος Κλυμένου ἄξιος ἐν σταδίῳ.

77. [105.]

Οὔπω Σκέλμιον ἔργον ἐΰξοον, ἀλλ' ἔτι τεθμὸν
δηναιὸν γλυφάνων ἄξοος ἦσθα σανίς·
ὧδε γὰρ ἱδρύοντο θεοὺς τότε· καὶ γὰρ Ἀθήνης
ἐν Λίνδῳ Δαναὸς λᾶαν ἔθηκεν ἕδος.

78.

Ἥρης
ἁγνὸν ὑφαινέμεναι τῇσι μέμηλε πάτος.

79.

Εἴτε μιν Ἀργείων χρή με καλεῖν ἀάτην.

80. [215. 188.]

Ῥιπαίου πέμπουσιν ἀπ᾽ οὔρεος, ᾗχι μάλιστα
τέρπουσιν λιπαραὶ Φοῖβον ὀνοσφαγίαι.

81, [123.]

Νηφάλιαι καὶ τῇσιν ἀεὶ μελιήδεας ὄμπνας
λήτειραι καίειν ἔλλαχον Ἡσυχίδες.

82. [448.]

Πάντες ἀφ᾽ Ἡρακλῆος ἐτήτυμον ἔσσι κώμου,
ἔξοχα δ᾽ ἐν πεδίοις οἱ πόλιν Ἰταλιδῶν
ᾠκίσατε.

83. [129.]

Λάθρη δὲ παρ᾽ Ἡφαίστοιο καμίνοις
ἔστρεφον, αἰράων ἔργα διδασκόμενοι.

84. [120.]

Ἀλλ᾽ ἐπὶ τόξον
αὐτὸς ὁ τοξευτὴς ἄρδιν ἔχων ἑτέραν.

85. [139.]

Καὶ τριτάτη Περσῆος ἐπώνυμος, ἧς ὀρόδαμνον
Αἰγύπτῳ κατέπηξε.

86.

Περσίη, ἧς θ᾽ ἕνεκεν πένθος ἀπωμόσατο.

87. [141.]

Ἀμφί τε κεβλὴν
ἑρμένον ἀγλίθων οὖλον ἔχει στέφανον.

88. [153.]

Ἥμισυ μὲν Πέρσαι, ἥμισυ δ᾽ Ἀσσύριοι.

89. [220.]

Χὴ Παλλάς, Δελφοί νιν ὅθ᾽ ἱδρύσαντο Προναίην.

90. [221.]

Μέσφα Καλαυρείης ἦλθεν ἐς ἀντίδοσιν.

91. [213.]

Ἀντὶ γὰρ ἐκλήθης Ἴμβρασε Παρθενίου.

92. [210.]

Αὐτίκα τὴν τᾶλιν παιδὶ σὺν ἀμφιθαλεῖ.

93. [207.]

Τὴν μὲν ὅγ' ἑσπέρμηνεν Ἐριννύϊ Τιλφωσσαίῃ.

94. [211.]

Ῥήγιον ἄστυ λιπὼν Ἰοκάστεω Αἰολίδαο.

95. [201.]

Πολλάκι δ' ἐκ λύχνου πῖον ἔλειξεν ἔαρ.

96. [176.]

Εἰδυῖαν φάλιον ταῦρον ἰηλεμίσαι.

97. [170.]

Τοὺς αὐτῷ σκοτίους ἐμπελάτειρα τέκεν.

98. [171.]

Υἷα Διώνυσον Ζαγρέα γειναμένη.

(*ΕΙΣ ΤΟΝ ΒΕΡΟΝΙΚΗΣ ΠΛΟΚΑΜΟΝ.*)

99. * [462.]

Ἠδὲ Κόνων ἔβλεψεν ἐν ἠέρι τὸν Βερονίκης
βόστρυχον, ὃν κείνη πᾶσιν ἔθηκε θεοῖς.

100. * [152.]

Ἦγεν ἐπ' Ἀσσυρίων ἡμεδαπὴ στρατίη.

101. [464.]

Σήν τε κάρην ὤμοσα, σόν τε βίον.

102. [463.]

Χαλύβων ὡς ἀπόλοιτο γένος,
γειόθεν ἀντέλλοντα κακὸν φυτὸν οἵ μιν ἔφηναν.

103. * [305.]

. . . Δέδαεν δὲ λαχαινέμεν ἔργα σιδήρου
(Ἐλλοπιῆας).

* 104.

Ἐσχατίην ὑπὸ πέζαν ἑλειήταο λέοντος.

ΙΒΙΣ.

* 105 [174.]

Ἠλεὰ μὲν ῥέξας, ἐχθρὰ δὲ πεισόμενε.

ΑΔΗΛΑ.

106. [165.]

Μηδ᾽ ἀπ᾽ ἐμεῦ διφᾶτε μέγα ψοφέουσαν ἀοιδήν.

107.

Μή με τὸν ἐν Δωδῶνι λελεγμένον οὕνεκα χάλκὸν
ἤγειρον.

108.

Μὴ μετρεῖν σχοίνῳ Περσίδι τὴν σοφίην.

109. [138.]

Καὶ τὸν ἐπὶ ῥάβδῳ μῦθον ὑφαινόμενον
ἠνεκὲς ἀείδω δειδεγμένος.

* 110.

Νηΐδες οἱ Μούσης οὐκ ἐγένοντο φίλοι.

111. [121.]

Ἔλλατέ νυν, ἐλέγοισι δ᾽ ἐνιψήσασθε λιπώσας
χεῖρας, ἵν᾽ ἀκμαῖοι πουλὺ μένωσιν ἔτος.

112. [107.]

Αἴθε γὰρ ὦ κούροισιν ἐπ' ὄμμασι λίχνα φέροντες,
Ἑρχίος ὡς ὑμῖν ὥρισε παιδοφιλεῖν,
ὧδε νέων ἐράοιτε· πόλιν κ' εὔανδρον ἔχοιτε.

113. [109.]

Καὶ γὰρ ὁ Θρηϊκίην μὲν ἀπέστυγε χανδὸν ἄμυστιν
ζωροποτεῖν, ὀλίγῳ δ' ἥδετο κισσυβίῳ.
τῷ μὲν ἐγὼ τόδ' ἔλεξα, περιστείχοντος ἀλείσου
τὸ τρίτον.

114. [111.]

Ἔνθ' ἀνέμων μεγάλων κῦμα διωλύγιον.

. . . .

Τρὶς μάκαρ ἣ πανύρων ὄλβιός ἐστι μέτα,
ναυτιλίης ὃς νῆϊν ἔχει βίον· ἀλλ' ἐμὸς αἰὼν
κύμασιν αἰθυίης μᾶλλον ἐσωκίσατο.

115. [67.]

Κουφοτέρως τότε φῶτα διαθλίβουσιν ἀνίαι,
ἐκ δὲ τριηκόντων μοῖραν ἀφεῖλε μίαν,
ἢ φίλον ἢ ὅτ' ἐς ἄνδρα συνέμπορον ἢ ὅτε κωφαῖς
ἄλγεα μὰψ αὔραις ἔσχατον ἐξερέῃ.

116. [126.]

Δέσποιναι Λιβύης Ἡρωΐδες, αἳ Νασαμώνων
αὖλιν καὶ δολιχὰς θῖνας ἐπιβλέπετε,
μητέρα μοι ζώουσαν ὀφέλλετε.

117. [133.]

Εἴ σε Προμηθεὺς
ἔπλασε, καὶ πηλοῦ μὴ 'ξ ἑτέρου γέγονας.

118. [134.]

Οὐχ ὧδ' ἐμόγησαν
ἐλπίδες, ὥστ' ἐχθρῶν συμμαχίας καλέσαι.

119 [135.]

Ἀλλὰ θεόντων
ὡς ἀνέμων οὐδεὶς εἶδεν ἁματροχίας.

120. [137.]

Εἰ θεὸν οἶσθα,
ἴσθ' ὅτι καὶ ῥέξαι δαίμονι πᾶν δυνατόν.

121. [225.]

Ἔσκεν ὅτ' ἄζωστος χἀτερόπορπος ἔτι.

122. [422.]

Πὰν ὁ Μαλειήτης τρύπανον αἰπολικόν.

123. [223.]

Τοῦ τε μεθυπλῆγος φροίμιον Ἀρχιλόχου.

124. [152.]

(Θεὸς) ὅστις ἀλιτροὺς
αὐγάζειν καθαραῖς οὐ δύναται λογάσιν.

125. [199.]

Ἀρθμὸν δ' ἀμφοτέροις καὶ φιλίην ἔταμον.

* 126.

Τέμνοντα σπορίμην αὔλακα γειομόρον.

127.

Μὴ ὠφέλετ' ἀλλήλοισιν ἐπὶ πλέον ὄμματα δῦναι.

128.

Ἀρχόμενοι μανίην ὀξυτάτην ἔχομεν.

129. [419.]

Πιπράσκει δ' ὁ κακὸς πάντα πρὸς ἀργύριον.

130. [422.]

Μηδὲν ἀνάγνωστον καλὸν ἔχειν ἐθέλω.

131. [460.]

. . Μουσέων δ' οὐ μάλα φιδὸς ἐγώ.

132. [260.]

Πουλὺ θαλασσαίων μυνδότεροι νεπόδων.

133. [179.]

Αἰεὶ τοῖς μικκοῖς μικκὰ διδοῦσι θεοί.

134. [363.]

Μεῖον ἐδάκρυσεν Τρωΐλος ἢ Πρίαμος.

135. [246.]

Δίκρον δ' ἤρυκεν φίτρον ἀειραμένη.

136. [148.]

Φοιτίζειν ἀγαθοὶ πολλάκις ἠΐθεοι.

137. [150.]

Πολλάκι καὶ κανθῶν ἤλασ' ἄωρον ἄπο.

138. [167.]

Δύπται δ' ἐξ ἁλὸς ἐρχόμενοι
ἔνδιοι καύηκες.

139. [443.]

. . . Οὓς Βρέννος ἀφ' ἑσπερίοιο θαλάσσης
ἤγαγεν Ἑλλήνων εἰς ἐπαναστασίην.

140. [20.]

Φωκαίων μέχρις γε μένῃ μέγας εἰν ἁλὶ μύδρος.

ΧΩΛΙΑΜΒΟΙ.

141. [92. 85.]

Ἀκούσαθ' Ἱππώνακτος· οὐ γὰρ ἀλλ' ἥκω
ἐκ τῶν ὅκου βοῦν κολλύβου πιπρήσκουσιν.

142. [83.]

Μοῦσαι καλαὶ κἀπόλλων οἷς, ἐγὼ σπένδω.

143. [86.]

Ἐς τὸ πρὸ τείχευς ἱερὸν ἀλέες δεῦτε,
οὗ τὸν πάλαι Παγχαῖον ὁ πλάσας Ζῆνα
γέρων ἀλαζὼν ἄδικα βιβλία ψήχει.

144. [90.]

Ἰάμβους οὐ μάχην ἀείδοντας
τὴν Βουπάλειον.

145. [87.]

Ἦν κεῖνος οὑνιαυτός, ᾧ τό τε πτηνὸν
καὶ τοὐν θαλάσσῃ καὶ τὸ τετράπουν οὕτως
ἐφθέγγεθ', ὡς ὁ πηλὸς ὁ Προμήθειος.

146. [93.]

Ἄκουε δὴ τὸν αἶνον· ἔν κοτε Τμώλῳ
δάφνην ἐλαίῃ νεῖκος οἱ πάλαι Λυδοὶ
λέγουσι θέσθαι.

147.

Ἐγὼ δὲ φαύλη δενδρέων πάντων εἰμί.

148.

Ἐν οἷς ὁ Φρὺξ Εὔφορβος, ὅστις ἀνθρώποις
τρίγωνά τε σκαληνὰ καὶ κύκλων ἑπτὰ
ἐξεῦρε μήκη, καὶ δίδαξε νηστεύειν
τῶν ἐμπνεόντων· οἱ δ' ἄρ' οὐχ ὑπήκουσαν
πάντες.

149. [94.]

Ἔπλευσεν εἰς Μίλητον· ἦν γὰρ ἡ νίκη
Θάλητος, ὅστ' ἦν τἄλλα δεξιὸς γνώμην,
καὶ τῆς ἁμάξης ἐλέγετο σταθμήσασθαι
τοὺς ἀστερίσκους, ᾗ πλέουσι Φοίνικες.

150. [89.]

Σόλων ἐκεῖνος δ' ὡς Χίλων' ἀπέστειλεν.

151. [96.]

Πάλιν τὸ δῶρον εἰς Θάλητ' ἀνώλισθεν.

152. [95.]

Θάλης με τῷ μεδεῦντι Νείλεω δήμου
δίδωσι, τοῦτο δὶς λαβὼν ἀριστεῖον.

153. [88.]

Ἔβηξαν, οἷον ἀλίβαντα πίνοντες.

154. [91.]

Οὐ πάντες, ἀλλ' οὓς ἔσχεν ἄτερος δαίμων.

155. [84.]

Οὐ πρῷν μὲν ἡμῖν· ὁ τραγῳδὸς ἤγειρεν.

156.

Τὰ νῦν δὲ πολλὴν τυφεδῶνα λεσχαίνεις.

157.

. . . . . Ἴσχε δὲ δρόμον . .
μαργῶντας ἵππους, μηδὲ δευτέραν κάμψῃς
. . . . . μή τι παρὰ νύσσῃ δίφρον
ἄξωσιν, ἐκ δὲ κύμβαχος κυβιστήσῃς.

ΙΑΜΒΟΙ.

158. [77.]

Οὐ γὰρ ἐργάτιν τρέφω
τὴν Μοῦσαν, ὡς ὁ Κεῖος Ὑλλίχου νέπους.

159. [76.]

Ὕδειν ἔοικε τὴν φερέζωον κόρην.
τὴν ὠγαμέμνων, ὡς ὁ μῦθος, εἴσατο,
τῇ καὶ λίπουρα καὶ μόνωπα θύεται.

160. [82.]

Οὐχ ὧδ' Ἀρείων τὠπέσαντι παρ Διΐ
ἴθυσεν Ἀρκὰς ἵππος.

161.

Τὸ πῦρ δέ, τἀνέκαυσας, οὐ πολλῇ φλογὶ
πρόσω κεχώρηκε.

ΜΕΛΗ.

ΒΡΑΓΧΟΣ.

162. [36.]

Δαίμονες εὐυμνότατοι, Φοῖβέ τε καὶ Ζεῦ, Διδύμων γενάρχα.

---

163. [116.]

Ἔνεστ' Ἀπόλλων τῷ χορῷ· τῆς λύρης ἀκούω·
καὶ τῶν Ἐρώτων ᾐσθόμην· ἔστι κἀφροδίτα.

164. [117.]

Ἡ παῖς ἡ κατάκλειστος,
τὴν οἵ φασι τεκόντες
εὐναίους ὀαρισμοὺς
ἔχθειν ἶσον ὀλέθρῳ.

165. [115.]

Ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας ἀπ' οἰνηρῆς Χίου
ἀμφορεύς, πολὺς δὲ Λεσβίης ἄωτον νέκταρ οἰνάνθης ἄγων.

166. [114.]

Ἁ ναῦς, ἃ τὸ μόνον φέγγος ἐμὶν τὸ γλυκὺ τᾶς ζοᾶς
ἅρπαξας, ποτί τε Ζανὸς ἱκνεῦμαι λιμενοσκόπω.

167. [146.]

Ἀγέτω θεός, οὐ γὰρ ἔχω δίχα τῶνδ' ἀείδειν.

168. [146.]

Νύμφα, σὺ μὲν ἀστερίαν ὑφ' ἅμαξαν ἤδη.

169. [146.]

Φιλωτέρα ἄρτι γάρ οἱ Σικελὰ μὲν Ἔννα.

---

154. [91.]

Οὐ πάντες, ἀλλ' οὓς ἔσχεν ἅτερος δαίμων.

155. [84.]

Οὐ πρῷν μὲν ἡμῖν· ὁ τραγῳδὸς ἤγειρεν.

156.

Τὰ νῦν δὲ πολλὴν τυφεδῶνα λεσχαίνεις.

157.

. . . . . Ἴσχε δὲ δρόμου . .
μαργῶντας ἵππους, μηδὲ δευτέραν κάμψῃς
. . . . . μή τι παρὰ νύσσῃ δίφρον
ἄξωσιν, ἐκ δὲ κύμβαχος κυβιστήσῃς.

ΙΑΜΒΟΙ.

158. [77.]

Οὐ γὰρ ἐργάτιν τρέφω
τὴν Μοῦσαν, ὡς ὁ Κεῖος Ὑλλίχου νέπους.

159. [76.]

Ὕδειν ἔοικε τὴν φερέζωον κόρην.
τὴν ὠγαμέμνων, ὡς ὁ μῦθος, εἵσατο,
τῇ καὶ λίπουρα καὶ μόνωπα θύεται.

160. [82.]

Οὐχ ὧδ' Ἀρείων τὠπέσαντι παρ Διΐ
ἴθυσεν Ἀρκὰς ἵππος.

161.

Τὸ πῦρ δέ, τἀνέκαυσας, οὐ πολλῇ φλογὶ
πρόσω κεχώρηκε.

LX.

PHANOCLES.

ΕΡΩΤΕΣ Η ΚΑΛΟΙ.

1.

Ἠ ὡς Οἰάγροιο πάϊς, Θρηΐκιος Ὀρφεὺς
ἐκ θυμοῦ Κάλαϊν στέρξε Βορηϊάδην,
πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἕζετ᾽ ἀείδων
ὃν πόθον, οὐδ᾽ ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ,
ἀλλ᾽ αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶναι
ἔτρυχον, θαλερὸν δερκομένου Κάλαϊν.
τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι
ἔκτανον εὐήκη φάσγανα θηξάμεναι,
οὕνεκα πρῶτος δεῖξεν ἐνὶ Θρήκεσσιν ἔρωτας
ἄῤῥενας, οὐδὲ πόθους ᾔνεσε θηλυτέρων.
τοῦ δ᾽ ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον, αὐτίκα δ᾽ αὐτὴν
εἰς ἅλα Θρηϊκίῃ ῥῖψαν ὁμοῦ χέλυϊ
ἥλῳ καρτύνασαι, ἵν᾽ ἐμφορέοιντο θαλάσσῃ
ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις·
τὰς δ᾽ ἱερῇ Λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα,
ἠχὴ δ᾽ ὡς λιγυρῆς πόντον ἐπέσχε λύρης,
νήσους τ᾽ αἰγιαλούς θ᾽ ἁλιμυρέας, ἔνθα λίγειαν
ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν.
ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
πέτρας, καὶ Φόρκου στυγνὸν ἔπειθεν ὕδωρ.
ἐκ κείνου μολπαί τε καὶ ἱμερτὴ κιθαριστὺς
νῆσον ἔχει, πασέων δ᾽ ἐστὶν ἀοιδοτάτη.
Θρῇκες δ᾽ ὡς ἐδάησαν ἀρήϊοι ἔργα γυναικῶν
ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος,
ἃς ἀλόχους ἔστιζον, ἵν᾽ ἐν χροῒ σήματ᾽ ἔχουσαι
κυάνεα στυγεροῦ μὴ λελάθοιντο φόνου.
ποινὰς δ᾽ Ὀρφῆϊ κταμένῳ στίζουσι γυναῖκας
εἰς ἔτι νῦν κείνης εἵνεκεν ἀμπλακίης.

LVIII.

PHILOSTEPHANUS.

Γαίῃ δ' ἐν Σικελῶν Τρινακρίδι χεῦμα λέλεκται
αἰνότατον, λίμνη καί περ ἐοῦσ' ὀλίγη,
ἐχθρὸν δὴ νήκτῃσιν· ὃ πρὶν ποσὶ παῦρα τινάξαι,
ῥηϊδίως ξηρὴν ἤλασεν ἐς ψάμαθον.

LIX.

ERATOSTHENES.

ΗΡΙΓΟΝΗ.

* 1.

Τρὶς δ' ἀπομαξαμένοισι θεοὶ διδόασιν ἄμεινον.

* 2.

Νιψάμεναι κρήνης ἔδραμον Ἀργαφίης.

3.

Ἡ δ' ὅτε δὴ Θορικοῦ καλὸν ἵκανεν ἕδος
(ἄστυ περίκλειτον.)

* 4.

Καὶ βαθὺν ἀκρήτῳ πνεύμονα τεγγόμενος.

5.

Μόσχους καὶ χλωρὰς κλήματος ἐκφυάδας.

* 6.

Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρα
ἔλθῃ, κυμαίνει δ' οἷα Λίβυσσαν ἅλα
Βορέης ἠὲ Νότος· τὰ δὲ καὶ κεκρυμμένα φαίνει
βυσσόθεν· ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον
οἶνος ἁμαρτοεπής, οἶνος μεθύουσιν ὄλισθος,
οἶνος ψυχαπάτης.

LX.

PHANOCLES.

ΕΡΩΤΕΣ Η ΚΑΛΟΙ.

1.

Ἢ ὡς Οἰάγροιο πάϊς, Θρηΐκιος Ὀρφεὺς
ἐκ θυμοῦ Κάλαϊν στέρξε Βορηϊάδην,
πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἕζετ' ἀείδων
ὃν πόθον, οὐδ' ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ,
ἀλλ' αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶναι
ἔτρυχον, θαλερὸν δερκομένου Κάλαϊν.
τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι
ἔκτανον εὐήκη φάσγανα θηξάμεναι,
οὕνεκα πρῶτος δεῖξεν ἐνὶ Θρήκεσσιν ἔρωτας
ἄρρενας, οὐδὲ πόθους ᾔνεσε θηλυτέρων.
τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον, αὐτίκα δ' αὐτὴν
εἰς ἅλα Θρηϊκίῃ ῥῖψαν ὁμοῦ χέλυϊ
ἥλῳ καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσῃ
ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις·
τὰς δ' ἱερῇ Λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα,
ἠχὴ δ' ὡς λιγυρῆς πόντον ἐπέσχε λύρης,
νήσους τ' αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λίγειαν
ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν.
ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
πέτρας, καὶ Φόρκου στυγνὸν ἔπειθεν ὕδωρ.
ἐκ κείνου μολπαί τε καὶ ἱμερτὴ κιθαριστὺς
νῆσον ἔχει, πασέων δ' ἐστὶν ἀοιδοτάτη.
Θρῆκες δ' ὡς ἐδάησαν ἀρήϊοι ἔργα γυναικῶν
ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος,
ἃς ἀλόχους ἔστιζον, ἵν' ἐν χροῒ σήματ' ἔχουσαι
κυάνεα στυγεροῦ μὴ λελάθοιντο φόνου.
ποινὰς δ' Ὀρφῆϊ κταμένῳ στίζουσι γυναῖκας
εἰς ἔτι νῦν κείνης εἵνεκεν ἀμπλακίης.

2.

Ἀλλὰ τὸ Μοιράων νῆμ' ἄλλυτον, οὐδέ πη ἔστιν
ἐκφυγέειν, ὁπόσοι γῆν ἐπιφερβόμεθα.

3.

Ἢ ὡς θεῖον Ἄδωνιν ὀρειφοίτης Διόνυσος
ἥρπασεν, ἠγαθέην Κύπρον ἐποιχόμενος.

LXI.

NICANDER.

ΟΦΙΑΚΑ.

* 1.

Οὐκ ἔχις οὐδὲ φάλαγγες ἀπεχθέες, οὐδὲ βαθυπλήξ
ἄλσεσιν εὐζῴοις σκορπίος ἐν Κλαρίοις,
Φοῖβος ἐπεί ῥ' αὐλῶνα βαθὺν μελίαισι καλύψας
ποιηρὸν δάπεδον θῆκεν ἑκὰς δακέτων.

* 2.

Ἔχλυον ὡς Λίβυες, Ψυλλῶν γένος, οὔτε τι θηρῶν
αὐτοὶ κάμνουσιν μυδαλέαισι τυπαῖς,
οὓς Σύρτις βόσκει θηροτρόφος, εὖ δὲ καὶ ἄλλοις
ἀνδράσιν ἤμυναν τύμμασιν ἀχθομένοις,
οὐ ῥίζαις ἕρδοντες, ἑῶν δ' ἀπὸ σύγχροα γυίων . . . .

LXII.

PTOLEMAEUS.

ΙΔΙΟΦΥΗ.

Πάνθ᾽ Ἡγησιάναξ τε καὶ Ἕρμιππος τὰ κατ᾽ αἴθρην
τείρεα καὶ πολλοὶ ταῦτα τὰ φαινόμενα
βίβλοις ἐγκατέθεντο, ἀπὸ σκοποῦ οὐδ᾽ ἀφάμαρτον,
ἀλλ᾽ ὅ γε λεπτόλογος σκῆπτρον Ἄρατος ἔχει.

LXIII.

PANCRATES.

ΚΟΓΧΟΡΗΙΣ.

Αὐτὰρ ὅ γε σπείσας ἐκ κόνδυος ἀργυφέοιο
νέκταρ, ἐπ᾽ ἀλλοδαπὴν οἶμον ἔβαινε πόδα.

LXIV.

AGATHYLLUS.

Ἵκετο δ᾽ Ἀρκαδίην, Νήσῳ δ᾽ ἐγκάτθετο παῖδας
δοιάς, Κωδώνης λέκτρα καὶ Ἀνθεμόνης,
αὐτὸς δ᾽ Ἑσπερίην ἔσυτο χθόνα, γείνατο δ᾽ υἷα
Ῥωμύλον.

LXV.

BUTAS.

(*AITIA.*)

Ἐμποδίους τύπτοντας, ὅπως τότε φάσγαν᾽ ἔχοντες
ἐξ Ἄλβης ἔθεον Ῥωμύλος ἠδὲ Ῥέμος.

LXVI.

SIMYLUS.

1.

Ἡ δ᾽ ἀγχοῦ ναίουσα παραὶ Καπιτώλιον αἶπος
Ταρπείη Ῥώμης ἔπλετο τειχολέτις·
Κελτῶν ἢ στέρξασα γαμήλια λέκτρα γενέσθαι,
σκηπτούχῳ πατέρων οὐκ ἐφύλαξε δόμους.

2.

Τὴν δ᾽ οὔτ᾽ ἄρ Βόϊοί τε καὶ ἔθνεα μυρία Κελτῶν
χηράμενοι ῥείθρων ἐντὸς ἔθεντο Πάδου,
ὅπλα δ᾽ ἐπιπροβαλόντες ἀρειμανέων ἀπὸ χειρῶν
κούρῃ ἔπι στυγερῇ κόσμον ἔθεντο φόνον.

3.

Μύσιον ἀπύοντα παρὰ ῥόον Ἀργανθώνης.

IAMBOGRAPHI.

Κύπριδος ἐξ ἀδύτων πυρσὸν ἀναψαμένη,
εἰςόκε μιν Κύπρις πηγὴν θέτο, μῖξε δ' ἔρωτι
Κύδνου καὶ νύμφης ὑδατόεντα γάμον.

8. [23.]

'Αλλ' ὅτ' ἀφ' ἑσπερίης 'Ερκυνίδος ὤρετο γαίης.

9. [29.]

Οὐδὲ πόροι ῥίζης δρύψελα Ποντιάδος.

10. [33.]

Γλαύκῳ καὶ Νηρῆϊ καὶ 'Ινώῳ Μελικέρτῃ.

IAMBOGRAPHI.

I.

ARCHILOCHUS.

ΕΛΕΓΕΙΑ.

1. [52.] *)

Εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

* 2.

Οὐ γάρ μοι πενίη πατρώϊος, οὐδ' ἀπὸ πάππων
εἰμὶ λιπερνήτης.

3. [56.]

Ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος
Ἰσμαρικός, πίνω δ' ἐν δορὶ κεκλιμένος.

4. [50.]

Οὔ τοι πόλλ' ἐπὶ τόξα τανύσσεται οὐδὲ θαμειαί
σφενδόναι, εὖτ' ἂν δὴ μῶλον Ἄρης συνάγῃ
ἐν πεδίῳ· ξιφέων δὲ πολύστονον ἔσσεται ἔργον·
ταύτης γὰρ κεῖνοι δαίμονες εἰσὶ μάχης
δεσπόται Εὐβοίης δουρικλυτοί.

5. [49.]

Ἀλλ' ἄγε, σὺν κώθωνι θοῆς διὰ σέλματα νηός
φοίτα καὶ κοίλων πώματ' ἄφελκε κάδων,
ἄγρει δ' οἶνον ἐρυθρὸν ἀπὸ τρυγός· οὐδὲ γὰρ ἡμεῖς
νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα.

6. [51.]

Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων·

---

*) Numeri adiecti sunt editionis Liebelianae

αὐτὸς δ᾿ ἐξέφυγον θανάτου τέλος· ἀσπὶς ἐκείνη
ἐῤῥέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω.

7. [58.]

Ξείνια δυςμενέσιν λυγρὰ χαριζόμενοι.

8.

Αἰσιμίδη, δειλοῦ μὲν ἐπίῤῥησιν μελεδαίνων,
οὐδεὶς ἂν μάλα πόλλ᾿ ἱμερόεντα πάθοι.

ΠΡΟΣ ΠΕΡΙΚΛΕΑ.

9. [48.]

Κήδεα μὲν στονόεντα, Περίκλεες, οὔτε τις ἀστῶν
μεμφόμενος θαλίῃς τέρψεται οὐδὲ πόλις·
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἔκλυσεν, οἰδαλέους δ᾿ ἀμφ᾿ ὀδύνῃς ἔχομεν
πνεύμονας· ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν,
ὦ φίλ᾿, ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον· ἄλλοτε δ᾿ ἄλλος ἔχει τόδε· νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ᾿, αἱματόεν δ᾿ ἕλκος ἀναστένομεν,
ἐξαῦτις δ᾿ ἑτέρους ἐπαμείψεται· ἀλλὰ τάχιστα
τλῆτε γυναικεῖον πένθος ἀπωσάμενοι.

10. [85.]

Κρύπτωμεν δ᾿ ἀνιηρὰ Ποσειδάωνος ἄνακτος
δῶρα.

11. [55.]

Πολλὰ δ᾿ εὐπλοκάμου πολιῆς ἁλὸς ἐν πελάγεσσιν
θεσσάμενοι γλυκερὸν νόστον .....

12. [54.]

Εἰ κείνου κεφαλὴν καὶ χαρίεντα μέλεα
Ἥφαιστος καθαροῖσιν ἐν εἵμασιν ἀμφεπονήθη.

13. [53.]

Οὔτε τι γὰρ κλαίων ἰήσομαι οὔτε κάκιον
θήσω τερπωλὰς καὶ θαλίας ἐφέπων.

34.

Κύψαντες ὕβριν ἀθρόην ἀπέφλοσαν.

35. [25.]

Ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται.

36. [22.]

Χαίτην ἀπ' ὤμων ἐγκυτὶ κεκαρμένος.

37. [20.]

Προὔθηκε παισὶ δεῖπνον αἰηνὲς φέρων.

38. [8.]

Βοῦς ἐστὶν ἡμῖν ἐργάτης ἐν οἰκίῃ·
κορωνός, ἔργων ἴδρις.

39. [16.]

Τοῖον γὰρ αὐλὴν ἕρκος ἀμφιδέδρομεν.

40.

Ἀμισθὶ γάρ σε πάμπαν οὐ διάξομεν.

41. [18.]

Ἐσθλὴν γὰρ ἄλλην οἶδα τοιούτου φυτοῦ
εἴκασιν.

42. [21.]

Ἵστη κατ' ἤκην κύματός τε κἀνέμου.

43. [24.]

Μετέρχομαί σε, σύμβολον ποιεύμενος.

44. [27.]

Τρίαιναν ἐσθλὴν καὶ κυβερνήτην σοφόν.

45. [73.]

Φηλῆτα νύκτωρ περὶ πόλιν πολευμένῳ.

---

23. [15.]

Καὶ δὴ 'πίκουρος ὥστε Κὰρ κεκλήσομαι.

24. [2.]

Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει,
οὐδ' εἷλέ πώ με ζῆλος, οὐδ' ἀγαίομαι
θεῶν ἔργα, μεγάλης δ' οὐκ ἐρέω τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.

25. [89.]

.. Ὁ δ' Ἀσίης καρτερὸς μηλοτρόφου.

26. [4.]

Ἄναξ Ἄπολλον, καὶ σὺ τοὺς μὲν αἰτίους
πήμαινε καί σφας ὄλλυ' ὥσπερ ὀλλύεις.

27. [17.]

Οἵην Λυκάμβεω παῖδα τὴν ὑπερτέρην.

28. [7. 13.]

Ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο
ῥοδῆς τε καλὸν ἄνθος, ἡ δέ οἱ κόμη
ὤμους κατεσκίαζε καὶ μετάφρενα.

29. [12.]

Ἐσμυρισμένας κόμας
καὶ στῆθος, ὡς ἂν καὶ γέρων ἠράσσατο.

30. [11.]

Οὐκ ἂν μύροισι γραῦς ἐοῦσ' ἠλείφετο.

31. [5.]

Ὥσπερ παρ' αὐλῷ βρῦτον ἢ Θρῆϊξ ἀνὴρ
ἢ Φρὺξ ἔβρυζε, κύβδα δ' ἦν πονευμένη.

32. [26.]

Κατ' οἶκον ἐστρωφᾶτο δυςμενὴς βάβαξ.

33. [19.]

Πρὸς τοῖχον ἐκλίνθησαν ἐν παλινσκίῳ.

34.

Κύψαντες ὕβριν ἀθρόην ἀπέφλοσαν.

35. [25.]

Ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται.

36. [22.]

Χαίτην ἀπ' ὤμων ἐγκυτὶ κεκαρμένος.

37. [20.]

Προὔθηκε παισὶ δεῖπνον αἰηνὲς φέρων.

38. [8.]

Βοῦς ἐστὶν ἡμῖν ἐργάτης ἐν οἰκίῃ·
κορωνός, ἔργων ἴδρις.

39. [16.]

Τοῖον γὰρ αὐλὴν ἕρκος ἀμφιδέδρομεν.

40.

Ἀμισθὶ γάρ σε πάμπαν οὐ διάξομεν.

41. [18.]

Ἐσθλὴν γὰρ ἄλλην οἶδα τοιούτου φυτοῦ εἴκασιν.

42. [21.]

Ἵστη κατ' ἤκην κύματός τε κἀνέμου.

43. [24.]

Μετέρχομαί σε, σύμβολον ποιεύμενος.

44. [27.]

Τρίαιναν ἐσθλὴν καὶ κυβερνήτην σοφόν.

45. [73.]

Φηλήτα νύκτωρ περὶ πόλιν πολευμένῳ.

ΤΕΤΡΑΜΕΤΡΑ.

52. [83.]

Ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε
ῥήματ᾽.

53. [10.]

Ἔα Πάρον καὶ σῦκα κεῖνα καὶ θαλάσσιον βίον.

54. [87.]

Ὡς Πανελλήνων ὀϊζὺς ἐς Θάσον συνέδραμεν.

55. [45.]

Μηδ᾽ ὁ Ταντάλου λίθος
τῆσδ᾽ ὑπὲρ νήσου κρεμάσθω.

56. [35.]

Γλαῦκ᾽, ὅρα, βαθὺς γὰρ ἤδη κύμασιν ταράσσεται
πόντος, ἀμφὶ δ᾽ ἄκρα Γυρέων ὀρθὸν ἵσταται νέφος,
σῆμα χειμῶνος· κιχάνει δ᾽ ἐξ ἀελπτίης φόβος.

57. [29.]

Καὶ νέους θάρσυνε· νίκης δ᾽ ἐν θεοῖσι πείρατα.

58. [32.]

Τοῖς θεοῖς τιθεῖν ἅπαντα· πολλάκις μὲν ἐκ κακῶν
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί,
πολλάκις δ᾽ ἀνατρέπουσι καὶ μάλ᾽ εὖ βεβηκότας
ὑπτίους κλίνουσ᾽· ἔπειτα πολλὰ γίγνεται κακά,
καὶ βίου χρήμῃ πλανᾶται καὶ νόου παρήορος.

59. [148.]

Τὸν κεροπλάστην ἄειδε Γλαῦκον.

60. [33.]

Οὐ φιλέω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον,
οὐδὲ βοστρύχοισι γαῦρον οὐδ᾽ ὑπεξυρημένον,
ἀλλά μοι σμικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν
ῥοικός, ἀσφαλέως βεβηκὼς ποσσί, καρδίης πλέος.

61. [39.]

Ἑπτὰ γὰρ νεκρῶν πεσόντων, οὓς ἐμάρψαμεν ποσίν,
χίλιοι φονῆες ἐσμέν.

62.

Ἐρξίη, πῇ δηὖτ' ἄνολβος ἀθροΐζεται στρατός;

63. [42.]

Ἔλπομαι, πολλοὺς μὲν αὐτῶν Σείριος καταυανεῖ,
ὀξὺς ἐλλάμπων.

64. [74.]

Ἐρξίων, ἐτήτυμον γὰρ ξυνὸς ἀνθρώποις Ἄρης.

65. [34.]

Οὔ τις αἰδοῖος μετ' ἀστῶν καὶ περίφημος θανὼν
γίγνεται· χάριν δὲ μᾶλλον τοῦ ζοοῦ διώκομεν
[ζωοί· κάκιστα δὲ τῷ θανόντι γίγνεται.]

66. [40.]

Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομέειν ἐπ' ἀνδράσιν.

67. [75.]

Ἓν δ' ἐπίσταμαι μέγα,
τὸν κακῶς με δρῶντα δεινοῖς ἀνταμείβεσθαι κακοῖς.

68. [31.]

Θυμέ, θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε,
ἐνάδευ, δυςμενῶν δ' ἀλέξευ προςβαλὼν ἐναντίον
στέρνον, ἐν δοκοῖσιν ἐχθρῶν πλησίον κατασταθείς
ἀσφαλέως· καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο,
μηδὲ νικηθεὶς ἐν οἴκῳ καταπεσὼν ὀδύρεο·
ἀλλὰ χαρτοῖσίν τε χαῖρε καὶ κακοῖσιν ἀσχάλα
μὴ λίην· γίγνωσκε δ' οἷος ῥυσμὸς ἀνθρώπους ἔχει.

69. [100.]

. . . . Σὺ γὰρ δὴ παρὰ φίλων ἀπάγχεο.

70. [14.]

. . . Μάχης δὲ τῆς σῆς, ὥστε διψέων πιεῖν,
ὣς ἐρέω.

[illegible]

χαῖρ' ἄναξ Ἡρακλέης

Ἰόλαε [illegible]

Τίρυνθα.

[illegible] χαῖρ' ἄναξ, Ἡρακλέης

95.

Ἡ δέ οἱ σάθη
ὡςεί τ' ὄνου Πριηνέος
κήλωνος ἐπλήμμυρεν ὀτρυγηφάγου.

96. [65.]

Φαινόμενον κακὸν οἴκαδ' ἄγεσθαι.

97. [84.]

Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην.

98. [76. 94.]

Οὐκέθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα· κάρφεται γὰρ ἤδη.

99. [95.]

Πολλὰς δὲ τυφλὰς ἐγχέλυας ἐδέξω.

100. [97.]

Ὑφ' ἡδονῆς σαλευμένη κορώνη.

101. [61.]

Τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθείς
πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευεν
κλέψας ἐκ στηθέων ἁπαλὰς φρένας.

102.

Εὖ τοι πρὸς ἄεθλα δῆμος ἠθροΐζετο,
ἐν δὲ Βατουσιάδης.

103.

Πολλὸν δὲ πίνων καὶ χαλίκρητον μέθυ
. . . . . .
ὧν οὔτε τῖμον εἰςένεγκας οὐδὲ μὴν
κληθεὶς (ἐς)ῆλθες οἷα δὴ
φίλος . . . .
. . . . ἀλλά σε
γαστὴρ νόον τε καὶ φρένας παρήγαγεν
. . . εἰς ἀναιδίην.

105. [102.]

Πτώσσουσαν ὥστε πέρδικα.

106. [101.]

Πάρελθε, γενναῖος γὰρ εἶς.

* 107.

Τί μακρὰ δὴ φρονεῖς, τάλαν;

108. [104.]

Ὡς δ' ἄν σε θωΐη λάβοι.

109. [105.]

Μή τευ μελαμπύγου τύχης.

110. [103.]

Ἔμπλην ἐμοῦ τε καὶ φίλου.

111.

Λείως γὰρ οὐδὲν ἐφρόνεον.

112. [177]

Ὡς φίλ' ἐναγεῖ Ταργήλια.

113. [80.]

Πεντήκοντ' ἀνδρῶν λίπε Κοίρανον ἤπιος Ποσειδ

114.

Καὶ βήσσας ὀρέων δυςπαιπάλους, οἷος ἦν ἐπ' ἥ

115.

Ὄγμος κακοῦ δὲ γήραος καθαιρεῖ.

ΥΜΝΟΣ ΕΙΣ ΗΡΑΚΛΕΑ.

118.

Τήνελλα.
Καλλίνικε χαῖρ' ἄναξ, Ἡράκλεες,
αὐτός τε καὶ Ἰόλαος αἰχμητὰ δύο.
Τήνελλα.
Καλλίνικε χαῖρ' ἄναξ, Ἡράκλεες.

ΙΟΒΆΚΧΟΙ.

119. [70.]

Δήμητρος ἁγνῆς καὶ κόρης τὴν πανήγυριν σέβων.

II.

SIMONIDES AMORGINUS.

1. [1.] *)

Ὦ παῖ, τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος
πάντων ὅσ' ἔστι, καὶ τίθησ' ὅπη θέλει·
νόος δ' οὐκ ἐπ' ἀνθρώποισιν· ἀλλ' ἐφήμεροι
ἃ δὴ βότ' αἰεὶ ζῶμεν, οὐδὲν εἰδότες,
ὅπως ἕκαστον ἐκτελευτήσει θεός.
ἐλπὶς δὲ πάντας κἀπιπειθείη τρέφει
ἄπρηκτον ὁρμαίνοντας· οἱ μὲν ἡμέρην
μένουσιν ἐλθεῖν, οἱ δ' ἐτέων περιτροπάς.
νέωτα δ' οὐδεὶς ὅστις οὐ δοκέει βροτῶν
πλούτῳ τε κἀγαθοῖσιν ἵξεσθαι φίλος·
φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβόν,
πρὶν τέρμ' ἵκηται· τοὺς δὲ δύστηνοι νόσοι
φθείρουσι θνητῶν· τοὺς δ' Ἄρει δεδμημένους
πέμπει μελαίνης Ἀΐδης ὑπὸ χθονός·
οἱ δ' ἐν θαλάσσῃ λαίλαπι κλονεύμενοι
καὶ κύμασιν πολλοῖσι πορφυρῆς ἁλὸς
θνήσκουσιν, εὖτ' ἂν μὴ δυνήσωνται ζόειν·
οἱ δ' ἀγχόνην ἅψαντο δυστήνῳ μόρῳ,
καὐτάγρετοι λείπουσιν ἡλίου φάος.
οὕτω κακῶν ἄπ' οὐδέν· ἀλλὰ μυρίαι
βροτοῖσι κῆρες κἀνεπίφραστοι δύαι
καὶ πήματ' ἐστίν· εἰ δ' ἐμοὶ πιθοίατο,
οὐκ ἂν κακῶν ἐρῷμεν, οὐδ' ἐπ' ἄλγεσιν
κακοῖς ἔχοντες θυμὸν αἰκιζοίμεθα.

*) Numeri adiecti sunt editionis Welckerianae.

2. [2.]

Τοῦ μὲν θανόντος οὐκ ἂν ἐνθυμοίμεθα,
εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρης μιῆς.

3. [3.]

Πολλὸς γὰρ ἡμῖν ἐστι τεθνάναι χρόνος,
ζῶμεν δ' ἀριθμῷ παῦρα (καὶ) κακῶς ἔτεα.

4. [4.]

Πάμπαν δ' ἄμωμος οὔτις οὐδ' ἀκήριος.

5. [6.]

Ἄθηλος ἵππῳ πῶλος ὣς ἅμα τρέχει.

6. [7.]

Γυναικὸς οὐδὲν χρῆμ' ἀνὴρ ληΐζεται
ἐσθλῆς ἄμεινον οὐδὲ ῥίγιον κακῆς.

7. [8.]

Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον
τὰ πρῶτα· τὴν μὲν ἐξ ὑὸς τανύτριχος,
τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα
ἄκοσμα κεῖται, καὶ κυλινδεῖται χαμαί·
αὐτὴ δ' ἄλουτος ἀπλύτοις τ' ἐν εἵμασιν
ἐν κοπρίῃσιν ἡμένη πιαίνεται.
Τὴν δ' ἐξ ἀλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος
γυναῖκα, πάντων ἴδριν· οὐδέ μιν κακῶν
λέληθεν οὐδέν, οὐδὲ τῶν ἀμεινόνων.
τὸ μὲν γὰρ αὐτῶν εἶπε πολλάκις κακόν,
τὸ δ' ἐσθλόν· ὀργὴν δ' ἄλλοτ' ἀλλοίην ἔχει.
Τὴν δ' ἐκ κυνὸς λιτοργόν, αὐτομήτορα,
ἣ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει,
πάντῃ δὲ παπταίνουσα καὶ πλανωμένη
λέληκεν, ἢν καὶ μηδέν' ἀνθρώπων ὁρᾷ.
παύσειε δ' ἄν μιν οὔτ' ἀπειλήσας ἀνήρ,
οὐδ' εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
ὀδόντας, οὐδ' ἂν μειλίχως μυθεύμενος,
οὐδ' εἰ παρὰ ξείνοισιν ἡμένη τύχοι·

ἀλλ᾽ ἐμπεδῶς ἄπρηκτον αὐονὴν ἔχει.
Τὴν δὲ πλάσαντες γηΐνην Ὀλύμπιοι
ἔδωκαν ἀνδρὶ πηρόν· οὔτε γὰρ κακόν,
οὔτ᾽ ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή·
ἔργον δὲ μοῦνον ἐσθίειν ἐπίσταται·
χὤταν κακὸν χειμῶνα ποιήσῃ θεός,
ῥιγῶσα δίφρον ἆσσον ἕλκεται πυρός.
Τὴν δ᾽ ἐκ θαλάσσης, ἣ δύ᾽ ἐν φρεσὶν νοεῖ·
τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην,
ἐπαινέσει μιν ξεῖνος ἐν δόμοις ἰδών·
„Οὐκ ἔστιν ἄλλη τῆςδε λωΐων γυνή
ἐν πᾶσιν ἀνθρώποισιν, οὐδὲ καλλίων.“
τὴν δ᾽ οὐκ ἀνεκτὸς οὐδ᾽ ἐν ὀφθαλμοῖς ἰδεῖν,
οὔτ᾽ ἆσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπλητον, ὥςπερ ἀμφὶ τέκνοισιν κύων.
ἀμείλιχος δὲ πᾶσι κἀποθυμίη
ἐχθροῖσιν ἴσα καὶ φίλοισι γίγνεται.
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
ἕστηκ᾽ ἀπήμων, χάρμα ναύτῃσιν μέγα,
θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται
βαρυκτύποισι κύμασιν φορευμένη·
ταύτῃ μάλιστ᾽ ἔοικε τοιαύτη γυνή
ὀργήν· φυὴν δὲ πόντος ἀλλοίην ἔχει.
Τὴν δ᾽ ἔκ τε σποδιῆς καὶ παλιντριβέος ὄνου,
ἣ σύν τ᾽ ἀνάγκῃ σύν τ᾽ ἐνιπῇσιν μόγις
ἔστερξεν ὧν ἅπαντα καὶ πονήσατο
ἀρεστά· τόφρα δ᾽ ἐσθίει μὲν ἐν μυχῷ
προνύξ, προῆμαρ, ἐσθίει δ᾽ ἐπ᾽ ἐσχάρῃ·
ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
ἐλθόνθ᾽ ἑταῖρον ὀντινῶν ἐδέξατο.
Τὴν δ᾽ ἐκ γαλῆς, δύστηνον οἰζυρὸν γένος.
κείνῃ γὰρ οὔ τι καλὸν οὐδ᾽ ἐπίμερον
πρόςεστιν, οὐδὲ τερπνόν, οὐδ᾽ ἐράσμιον·
εὐνῆς δ᾽ ἀληνής ἐστιν ἀφροδισίης,
τὸν δ᾽ ἄνδρα τὸν παρόντα ναυσίῃ διδοῖ·
κλέπτουσα δ᾽ ἔρδει πολλὰ γείτονας κακά,
ἄθυστα δ᾽ ἱρὰ πολλάκις κατεσθίει.
Τὴν δ᾽ ἵππος ἁβρὴ χαιτέεσσ᾽ ἐγείνατο,

ἢ δούλι᾽ ἔργα καὶ δύην περιτρέπει·
κοὔτ᾽ ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι,
οὔτε πρὸς ἰπνόν, ἀσβόλην ἀλευμένη,
ἵζοιτ᾽· ἀνάγκῃ δ᾽ ἄνδρα ποιεῖται φίλον·
λοῦται δὲ πάσης ἡμέρης ἄπο ῥύπον
δίς, ἄλλοτε τρίς, καὶ μύροις ἀλείφεται·
αἰεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ,
βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.
καλὸν μὲν ὦν θέημα τοιαύτη γυνή
ἄλλοισι· τῷ δ᾽ ἔχοντι γίγνεται κακόν,
ἢν μή τις ἢ τύραννος, ἢ σκηπτοῦχος ᾖ,
ὅςτις τοιούτοις θυμὸν ἀγλαΐζεται.
  Τὴν δ᾽ ἐκ πιθήκου· τοῦτο δὴ διακριδὸν
Ζεὺς ἀνδράσιν μέγιστον ὤπασεν κακόν.
αἴσχιστα μὲν πρόςωπα· τοιαύτη γυνή
εἶσιν δι᾽ ἄστεος πᾶσιν ἀνθρώποις γέλως.
ἐπ᾽ αὐχένα βραχεῖα, κινεῖται μόγις,
ἄπυγος, αὐτόκωλος. ἆ τάλας ἀνήρ,
ὅςτις κακὸν τοιοῦτον ἀγκαλίζεται.
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,
ὥσπερ πίθηκος, οὐδέ οἱ γέλως μέλει.
οὐδ᾽ ἄν τιν᾽ εὖ ἔρξειεν, ἀλλὰ τοῦθ᾽ ὁρᾷ,
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
ὅκως τιν᾽ ὡς μέγιστον ἔρξειεν κακόν.
  Τὴν δ᾽ ἐκ μελίσσης· τήν τις εὐτυχεῖ λαβών·
κείνῃ γὰρ οἴῃ μῶμος οὐ προςιζάνει·
θάλλει δ᾽ ὑπ᾽ αὐτῆς κἀπαέξεται βίος·
φίλη δὲ σὺν φιλεῦντι γηράσκει πόσει,
τεκοῦσα καλὸν κοὐνομάκλυτον γένος·
κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσῃσι, θείη δ᾽ ἀμφιδέδρομεν χάρις·
οὐδ᾽ ἐν γυναιξὶν ἥδεται καθημένη,
ὅκου λέγουσιν ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσιν χαρίζεται
Ζεὺς τὰς ἀρίστας καὶ πολυφραδεστάτας.
  Τὰ δ᾽ ἄλλα φῦλα ταῦτα μηχανῇ Διός
ἔστιν τε πάντα, καὶ παρ᾽ ἀνδράσιν μένει.

Ζεὺς γὰρ μέγιστον τοῦτ᾽ ἐποίησεν κακόν,
γυναῖκας· ἤν τι καὶ δοκῶσιν ὠφελεῖν,
ἔχοντί τοι μάλιστα γίγνεται κακόν.
οὐ γάρ κοτ᾽ εὔφρων ἡμέρην διέρχεται
ἅπασαν, ὅστις σὺν γυναικὶ πέλεται·
οὐδ᾽ αἶψα λιμὸν οἰκίης ἀπώσεται,
ἐχθρὸν συνοικητῆρα, δυςμενέα θεόν.
ἀνὴρ δ᾽ ὅταν μάλιστα θυμηδεῖν δοκῇ
κατ᾽ οἶκον ἢ θεοῦ μοῖραν ἢ ἀνθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
ὅκου γυνὴ γάρ ἐστιν, οὐδ᾽ ἐς οἰκίην
ξεῖνον μολόντ᾽ ἂν προφρόνως δεχοίατο.
ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη·
κεχηνότος γὰρ ἀνδρὸς — οἱ δὲ γείτονες
χαίρουσ᾽ ὁρῶντες καὶ τόν, ὡς ἁμαρτάνει.
τὴν ἣν δ᾽ ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται·
ἴσην δ᾽ ἔχοντες μοῖραν οὐ γιγνώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ᾽ ἐποίησεν κακόν,
καὶ δεσμὸν ἀμφέθηκεν ἄῤῥηκτον πέδῃ,
ἐξ οὗτε τοὺς μὲν Ἀΐδης ἐδέξατο
γυναικὸς εἵνεκ᾽ ἀμφιδηριωμένους.

8. 9. [9.]

* * * * *Ὥςπερ ἔγχελυς κατὰ*
γλοιοῦ * * * *
Ἐρῳδιὸς γὰρ ἔγχελυν Μαιανδρίην
τριόρχον εὑρὼν ἐσθίοντ᾽ ἀφείλετο.

10. [15.]

Τί ταῦτα διὰ μακρῶν λόγων ἀνέδραμον;

11. [16.]

Οἷόν τε χηνὸς ᾤεον Μαιανδρίου.

12. [17.]

Σπλάγχν᾽ ἀμπέχοντες αὐτίκ᾽ ἰκτίνου δίκην.

13. [18.]

* * Τόδ' ἡμῖν ἑρπετὸν παρέπτατο,
τὸ ζωΐων κάκιστον ἔκτηται βίον.

14. [19.]

Οὐκ ἄν τις οὕτω δασκίοις ἐν οὔρεσιν
ἀνὴρ λέοντ' ἔδεισεν οὐδὲ πάρδαλιν,
μοῦνος στενυγρῇ συμπεσὼν ἐν ἀτραπῷ.

15.

Θύννοισι τευθίς, κωβιοῖσι κωρίδες.

16. [20.]

Κηλειφόμην μύροισι καὶ θυώμασιν
καὶ βακκάρι· καὶ γάρ τις ἔμπορος παρῆν.

17. [20.]

Καὶ τῆς ὄπισθεν ὀρσοθύρης ἡλσάμην.

18. [22.]

Καὶ σαῦλα βαίνων, ἵππος ὡς κορωνίης.

19. [23.]

Ἢ τυφλὸς ἤ τις σκνιπὸς ἢ μέγα βλέπων.

20. [24.]

Θύουσι Νύμφαις τῷ τε Μαιάδος τόκῳ·
οὗτοι γὰρ ἀνδρῶν αἷμ' ἔχουσι ποιμένων.

21. [25.]

Σὺν πορδακοῖσιν ἐκπέσοντες εἵμασιν.

22. 23. [26.]

(Ἢ) πολλὰ μὲν δὴ προεκπονῇ, Τηλέμβροτε.

* * * *

Ἐνταῦθα μέντοι τυρὸς ἐξ Ἀχαΐης
Τρομίλιος θαυμαστός, ὃν κατήγαγον.

24. [27.]

* Χὼς ἄφευσα χὼς ἐμίστυλα κρέα
ἱρωστί· καὶ γὰρ οὐ κακῶς ἐπίσταμαι.

25. [28.]

Ἔδωκεν οὐδεὶς οὐδ' ἀρυστῆρα τρυγός.

26. [29.]

Ἀπὸ τράπεζαν εἷλε καὶ ποτήρια.

27. [30.]

Αὕτη δὲ φοξῇ χεῖλος Ἀργείη κύλιξ.

28. [31.]

Ὁπλὰς ἐκίνει τῶν ὀπισθίων ποδῶν.

III.

HIPPONAX.

ΒΙΒΛΙΟΝ Α.

1. [1. 18.] *)

Ἔβωσε Μαίας παῖδα, Κυλλήνης πάλμυν·
Ἑρμῆ κυνάγχα, Μῃονιστὶ Κανδαῦλα,
φωρῶν ἑταῖρε, δεῦρό μοι σκαπαρδεῦσαι.

2. [5.]

Κίκων δ' ὁ πανδάλητος, ἄμμορος καύης.

3. [44.]

Κοραξικὸν μὲν ἠμφιεσμένη λῶπος.

4. [44.]

Πόλιν καθαίρειν καὶ κράδῃσι βάλλεσθαι.

5. [44.]

Βάλλοντες ἐν χειμῶνι καὶ ῥαπίζοντες
κράδῃσι καὶ σκίλλῃσιν, ὥςπερ φαρμακόν.

---

*) Numeri adiecti sunt editionis Welckerianae.

6. [44.]

Δεῖ δ' αὐτὸν ἐς φαρμακὸν ἐκποιήσασθαι.

7. [44.]

Κάφῃ παρέξειν ἰσχάδας τε καὶ μᾶζαν
καὶ τυρόν, οἷον ἐσθίουσι φαρμακοί.

8. [44.]

Πάλαι γὰρ αὐτοὺς προςδέχονται χάσκοντες
κράδας ἔχοντας, ὡς ἔχουσι φαρμακοῖς.

9. [44.]

Λιμῷ γένηται ξηρός, ἐν δὲ τῷ θυμῷ
φαρμακὸς ἀχθεὶς ἑπτάκις ῥαπισθείη.

11. [4.]

Ὡς οἱ μὲν ἀγέϊ Βουπάλῳ κατηρῶντο.

12.

Τί τῷ τάλαντι Βουπάλῳ συνῴκησας;

* 13. [6.]

Ὦ Κλαζομένιοι, Βούπαλός τε κἄθηνις.

14.

Τούτοισι θηπῶν τοὺς Ἐρυθραίων παῖδας
φὴ μητροκώτης Βούπαλος σὺν Ἀρήτῃ
καὶ φελίζων τὸν δυςώνυμον ἄρτον.

15.

Τέαρε . . . . . δεύειε τὴν ἐπὶ Σμύρνης·
ἴθι διὰ Λυδῶν παρὰ τὸν Ἀττάλεω τύμβον
καὶ σῆμα Γύγεω καὶ μεγάστρυ στήλην
καὶ μνῆματ' Ὤτος Μυτάλιδι πάλμυδος,
πρὸς ἥλιον δύνοντα γαστέρα τρέψας.

16. [10.]

Ἑρμῆ, φίλ' Ἑρμῆ, Μαιαδεῦ, Κυλλήνειε,
ἐπεύχομαί τοι, κάρτα γὰρ κακῶς ῥιγῶ.

17. [10.]

Δὸς χλαῖναν Ἱππώνακτι· κάρτα γὰρ ῥιγῶ
καὶ βαμβακύζω.

18. [9.]

Δὸς χλαῖναν Ἱππώνακτι καὶ κυπασσίσκον
καὶ σαμβαλίσκα κἀσκερίσκα καὶ χρυσοῦ
στατῆρας ἑξήκοντα τοὐτέρου τοίχου.

19. [9.]

Ἐμοὶ γὰρ οὐκ ἔδωκας οὔτε κω χλαῖναν
δασεῖαν, ἐν χειμῶνι φάρμακον ῥίγευς,
οὔτ' ἀσκέρῃσι τοὺς πόδας δασείῃσιν
ἔκρυψας, ὥς μή μοι χίμετλα ῥήγνυται.

20. [14.]

Ἐρέω γὰρ οὕτω· Κυλλήνιε Μαιάδος Ἑρμῆ.

21. [15.]

Τοὺς ἄνδρας τούτους ὀδύνῃ γύαλ' ἤρειπ' αἰεί.

ΒΙΒΛΙΟΝ Β.

25. [54.]

Ἀκήρατον δὲ τὴν ἀπαρτίην ἔχει.

ΕΞ ΑΔΗΛΩΝ ΒΙΒΛΙΩΝ.

ΧΩΛΙΑΜΒΟΙ.

27. [11.]

Χρόνος δὲ φευγέτω σε μηδὲ εις ἀργός.

28. [12.]

Δύ' ἡμέραι γυναικός εἰσιν ἥδισται,
ὅταν γαμῇ τις κἀκφέρῃ τεθνηκυῖαν.

29 A. [2.]

Ὦ Ζεῦ πάτερ, θεῶν Ὀλυμπίων πάλμυ.

29. B. [3.]

Τί μ' οὐκ ἔδωκας χρυσόν, ἀργύρου πάλμυ;

30. [16.]

Ἀπό σ' ὀλέσειεν Ἄρτεμις, σὲ δὲ κὠπόλλων.

31. [17.]

Παρ' ᾧ σὺ λευκόπεπλον ἡμέρην μείνας
πρὸς μὲν κυνήσειν τὸν Φλυησίων Ἑρμῆν.

32.

Ἔψισε πἀπέλουσεν ἀσκαρίζοντα.

33. [19.]

Συκῆν μέλαιναν, ἀμπέλου κασιγνήτην.

34. [20.]

Ὁ μὲν γὰρ αὐτῶν ἡσυχῇ τε καὶ ῥύβδην
θύνναν τε καὶ μυττωτὸν ἡμέρας πάσας
δαινύμενος, ὥσπερ Λαμψακηνὸς εὐνοῦχος,
κατέφαγε δὴ τὸν κλῆρον· ὥστε χρὴ σκάπτειν
πέτρας ὀρείας, σῦκα μέτρια τρώγων,
καὶ κρίθινον κόλλικα, δούλιον χόρτον.

35. [26.]

Οὐκ ἀτταγᾶς τε καὶ λαγῶς καταβρύκων,
οὐ τηγανίτας σησάμοισι φαρμάσσων,
οὐδ' ἀττανίτας κηρίοισιν ἐμβάπτων.

36. [21.]

Ὁ δ' ἐξολισθὼν ἱκέτευε τὴν κράμβην
τὴν ἑπτάφυλλον, ᾗ θύεσκε Πανδώρῃ
Ταργηλίοισιν ἔγχυτον πρὸ φαρμακοῦ.

37. [23.]

Ἐκ πελλίδος πίνοντες· οὐ γὰρ ἦν αὐτῇ
κύλιξ, ὁ παῖς γὰρ ἐμπεσὼν κατήραξεν.

38. [24.]

. . . . Ἐκ δὲ τῆς πέλλης
ἔπινον, ἄλλοτ' αὐτός, ἄλλοτ' Ἀρήτη
προὔπινεν.

39. [22.]

Σπονδῇ τε καὶ σπλάγχνοισιν ἀγρίης χοίρου.

40. [27.]

Βακκάρει δὲ τὰς ῥῖνας
ἤλειφον· ἔστι δ' οἷά περ κρόκος . .

41.

Ἐπ' ἁρμάτων τε καὶ Θρηϊκίων πώλων
λευκῶν ἰὼν κατ' ἐγγὺς Ἰλίου πύργων
ἀπηναρίσθη Ῥῆσος, Αἰνειῶν πάλμυς.

42.

Κακοῖσι δώσω τὴν πολύστονον ψυχήν,
ἢν μὴ ἀποπέμψῃς ὡς τάχιστά μοι κριθέων
μέδιμνον, ὡς ἂν ἀλφίτων ποιήσωμαι
κυκεῶνα, πίνων φάρμακον πονηρίης.

* 43. [113.]

Ἀναξίως ἀδμῆτι προσπταίων κώλῳ.

44. [28.]

Καὶ Μύσων, ὃν ὡπόλλων
ανεῖπεν ἀνδρῶν σωφρονέστατον πάντων.

45. [30.]

Καὶ τοὺς σολοίκους, ἢν λάβωσι, περνᾶσιν,
Φρύγας μὲν ἐς Μίλητον ἀλφιτεύσοντας.

46. [31.]

Ὤικει δ' ὄπισθε τῆς πόληος ἐν Σμύρνῃ,
μεταξὺ Τρηχείης τε καὶ Λέπρης ἀκτῆς.

* 47. [33.]

Ἀκούσαθ' Ἱππώνακτος· οὐ γὰρ ἀλλ' ἥκω.

* 48. [34.]

Εἰς ἄκρον ἕλκων, ὥσπερ ἀλλᾶντα ψύχων.

49. [7.]

Μιμνῆ κακομήχανε, μηκέτι γράψῃς
ὄφιν τριήρευς ἐν πολυζύγῳ τοίχῳ
ἀπ' ἐμβόλου φεύγοντα πρὸς κυβερνήτην·
αὕτη γάρ ἐστι συμφορή τε καὶ κληδὼν
Νικύρτα καὶ Σάβαννι τῷ κυβερνήτῃ,
ἢν αὐτὸν ὄφις τὠντικνήμιον δάκνῃ.

50. [35.]

Ἔπειτα μάλθῃ τὴν τρόπιν παραχρίσας.

51. [8.]

Ὁ δ' αὐτίκ' ἐλθὼν σὺν τριοῖσι μάρτυρσιν,
ὅπου τὸν ἔρπιν ὁ σκότος καπηλεύει,
ἄνθρωπον εὗρε τὴν στέγην ὀφέλλοντα
— οὐ γὰρ παρῆν ὄφελμα — πυθμένι στριβῆς.

52. [36.]

Καί μιν καλύπτει· μῶν χαραδριὸν περνάς;

53. [38.]

Ἀλλ' αὐτίκ' ἀλλήλοισιν ἐμβιβάξαντες.

54. [39.]

Κριγὴ δὲ νεκρῶν ἄγγελός τε καὶ κῆρυξ.

55. [40.]

Ὤμιξεν αἷμα καὶ χολὴν ἐτίλησεν.

56. [41.]

Σίφωνι λεπτῷ τοὐπίθημα τετρήνας.

57. [42.]

Στάζουσιν ὥσπερ εἰ τραπήϊον σάκκος.

58. [43.]

Κἄλειφα ῥοδινὸν ἡδὺ καὶ λέκος πυῤῥοῦ.

59. [61.]

*Πρὸς τὴν μαρίλην τοὺς πόδας * θερμαίνων*
οὐ παύεται.

60.

Τὴν ῥῖνα καὶ τὴν μύξαν ἐξαράξασα.

* 61.

Ἀπ' οὖν ἀνὴρ ὅδ' ἑσπέρης καθεύδοντα
ἔδησε χλούνην.

62.

Οἱ δέ μευ πάντες
ὀδόντες ἐν τῇσι γνάθοις κεκινέαται.

63. [37.]

* *Ἐγὼ δὲ δεξιῷ παρὰ ῥητῆρ*
κνεφαῖος ἐλθὼν ῥῳδιῷ κατηυλίσθην.

64.

. . . *Ἀθηνᾶ μαλίς*
κονὶς κελαῖρε, καί με δεσπότεω βεβροῦ
λαχόντα λίσσομαί σε μὴ ῥαπίζεσθαι.

ΤΡΙΜΕΤΡΑ.

72. [52.]

[Γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι,
τρόπον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν.
αὕτη γὰρ ἡ προὶξ οἰκίαν σώζει μόνη.
ὅστις δὲ τρυφῶσαν τὴν γυναῖκ' ἄγει λαβών
* * * * * *
συνεργὸν οὗτος ἀντὶ δεσποίνης ἔχει
εὔνουν, βεβαίαν εἰς ἅπαντα τὸν βίον.]

73. [35.]

Ὀλίγα φρονοῦσιν οἱ χάλιν πεπωκότες.

74.

Οὔ μοι δικαίως μοιχὸς ἁλῶναι δοκέει
Κριτίης ὁ Χῖος ἐν κασωρικῷ δόμῳ.

76. [65.]

Λαιμᾷ δέ σου τὸ χεῖλος ὡς ἐρῳδιοῦ.

ΤΕΤΡΑΜΕΤΡΑ.

* 78. [112.]

Μητροτίμῳ δηὖτέ με χρὴ τῷ σκότῳ δικάζεσθαι.

79. [32.]

Καὶ δικάσσασθαι Βίαντος τοῦ Πριηνέος κρέσσων.

80.

Μηδὲ μοιμύλλειν Λεβεδίην ἰσχάδ' ἐκ Καμανδωλοῦ.

81.

. . *Στέφανον εἶχον κοκκυμήλων καὶ μίνθης.*

82. [57.]

Κυπρίων βέκος φαγοῦσι κάμαθουσίων πυρόν.

83. [58. 59.]

Λάβετέ μου θαἰμάτια, κόψω Βουπάλου τὸν ὀφθαλμόν·
ἀμφιδέξιος γάρ εἰμι κοὐχ ἁμαρτάνω κόπτων.

84. [60.]

. . *Ἐκτίλλοι τις αὐτοῦ τὴν τράμιν ὑποργάσαι.*

ΕΞΑΜΕΤΡΑ.

85. [56.]

Μοῦσά μοι Εὐρυμεδοντιάδεα, τὴν ποντοχάρυβδιν,
τὴν ἐγγαστριμάχαιραν, ὃς ἐσθίει οὐ κατὰ κόσμον,
ἔννεφ', ὅπως ψηφῖδι κακὸς κακὸν οἶτον ὄληται,
βουλῇ δημοσίῃ παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.

* 89. [114.]

Ἑρμῆ μακάρταθ᾽ ὃς καθ᾽ ὕπνον οἶδας ἐγρήσσειν.

90. [64.]

Εἴ μοι γένοιτο παρθένος, καλή τε καὶ τέρεινα.

* 91. [113.]

Ὁ Κιθαιρὼν Λυδίοισιν ἐν χοροῖσι Βακχῶν.

* 92. [111.]

Καὶ κνίσῃ τινὰ θυμιήσας.

* 93. [115.]

Οἱ θεοὶ τὰ λοιπὰ Ταντάλῳ δόντες.

IV.

ANANIUS.

ΧΩΛΙΑΜΒΟΙ.

1.

Ἄπολλον, ὅς που Δῆλον ἢ Πυθῶν᾽ ἔχεις,
ἢ Νάξον ἢ Μίλητον ἢ θείην Κλάρον,
ἵκου καθ᾽ ἱερόν, ἢ Σκύθας ἀφίξεαι.

2.

Χρυσὸν λέγει Πύθερμος ὡς οὐδὲν τἄλλα.

3.

Εἴ τις καθείρξαι χρυσὸν ἐν δόμοις πολλὸν
καὶ σῦκα βαιὰ καὶ δύ᾽ ἢ τρεῖς ἀνθρώπους,
γνοίη χ᾽ ὅσῳ τὰ σῦκα τοῦ χρυσοῦ κρέσσω.

4.

Καὶ σὲ πολλὸν ἀνθρώπων
ἐγὼ φιλέω μάλιστα, ναὶ μὰ τὴν κράμβην.

ΤΕΤΡΑΜΕΤΡΑ.

5.

Ἔαρι μὲν χρόμιος ἄριστος, ἀνθίας δὲ χειμῶνι·
τῶν καλῶν δ' ὄψων ἄριστον καρὶς ἐκ συκέης φύλλοις
ἡδὺ δ' ἐσθίειν χιμαίρης φθινοπωρισμῷ κρείας·
δέλφακος δ', ὅταν τραπέωσι καὶ πατέωσιν, ἐσθίειν·
καὶ κυνῶν αὕτη τόθ' ὥρη καὶ λαγῶν κἀλωπήκων,
ὄϊος αὖθ', ὅταν θέρος τ' ᾖ κὴχέται βαβράζωσιν.
εἶτα δ' ἐστὶν ἐκ θαλάσσης θύννος οὐ κακὸν βρῶμα,
ἀλλὰ πᾶσιν ἰχθύεσσιν ἐμπρεπὴς ἐν μυττωτῷ.
βοῦς δὲ πιανθείς, δοκέω μέν, καὶ μεσέων νυκτῶν ἡδὺς
κἠμέρης.

V.

DIPHILUS.

1.

Τρέψας δὲ πώλους ὡς ὁ Μαντινεὺς Σῆμος,
ὃς πρῶτος ἅρματ' ἤλασεν παρ' Ἀλφειῷ.

VI.

HERMIPPUS.

ΤΡΙΜΕΤΡΑ.

2.

Τὰς λευκερίνεως δὲ χωρὶς ἰσχάδας.

ΤΕΤΡΑΜΕΤΡΑ.

4.

Εἰς τὸ Κυλικράνων βαδίζων σπληνόπεδον ἀφικόμην·
εἶδον οὖν τὴν Ἡράκλειαν καὶ μάλ' ὡραίαν πόλιν.

5.

Ὕστερον δ' αὐτὸν στρατηγὸν οὓς ἀνειλωτημένην
καὶ κασαλβάζουσαν εἶδον καὶ σεσαλακωνισμένην.

VII.

SCYTHINUS.

IAMBOI.

1.

Τὴν λύρην ἁρμόζεται
Ζηνὸς εὐειδὴς Ἀπόλλων, πᾶσαν ἀρχὴν καὶ τέλος
συλλαβών, ἔχει δὲ λαμπρὸν πλῆκτρον ἡλίου φάος.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

2.

Ἦλθέν μοι μέγα πῆμα, μέγας πόλεμος, μέγα μοι πῦρ,
Ἰλισσὸς πλήρης τῶν ἐς ἔρωτ' ἐτέων,
αὐτὰ τὰ καίρι' ἔχων ἑκκαίδεκα, καὶ μετὰ τούτων
πάσας καὶ μικρὰς καὶ μεγάλας χάριτας,
καὶ πρὸς ἀναγνῶναι φωνὴν μέλι, καὶ τὸ φιλῆσαι
χείλεα, καὶ τὸ λαβεῖν ἔνδον ἀμεμπτότατον.
καὶ τί πάθω; φασὶν γὰρ ὁρᾶν μόνον· ἦρ' ἀγρυπνήσω
πολλάκι, τῇ κενεῇ Κύπριδι χειρομαχῶν;

3.

Ὀρθὸν νῦν ἕστηκας ἀνώνυμον, οὐδὲ μαραίνῃ,
ἐντέτασαι δ' ὡς ἂν μήποτε παυσόμενον.
ἀλλ' ὅτε μοι Νεμεσηνὸς ὅλον παρέκλινεν ἑαυτὸν
πάντα διδοὺς ἃ θέλω, νεκρὸν ἀπεκρέμασο.
τείνεο καὶ ῥήσσου καὶ δάκρυε· πάντα ματαίως.
οὐχ ἕξεις ἔλεον χειρὸς ἀφ' ἡμετέρης.

ΤΕΤΡΑΜΕΤΡΑ.

5.

Ἔαρι μὲν χρόμιος ἄριστος, ἀνθίας δὲ χειμῶνι·
τῶν καλῶν δ' ὄψων ἄριστον καρὶς ἐκ συκέης φύλλων.
ἡδὺ δ' ἐσθίειν χιμαίρης φθινοπωρισμῷ κρέας·
δέλφακος δ', ὅταν τραπέωσι καὶ πατέωσιν, ἐσθίειν·
καὶ κυνῶν αὕτη τόθ' ὥρη καὶ λαγῶν κἀλωπήκων.
οἴος αὖθ', ὅταν θέρος τ' ἦ κήχέται βαβράζωσιν.
εἶτα δ' ἐστὶν ἐκ θαλάσσης θύννος οὐ κακὸν βρῶμα,
ἀλλὰ πᾶσιν ἰχθύεσσιν ἐμπρεπὴς ἐν μυττωτῷ.
βοῦς δὲ πιανθείς, δοκέω μέν, καὶ μεσέων νυκτῶν ἤδη
κἠμέρης.

V.

DIPHILUS.

1.

Τρέψας δὲ πώλους ὡς ὁ Μαντινεὺς Σῆμος,
ὃς πρῶτος ἅρματ' ἤλασεν παρ' Ἀλφειῷ.

VI.

HERMIPPUS.

ΤΡΙΜΕΤΡΑ.

2.

Τὰς λευκερίνεως δὲ χωρὶς ἰσχάδας.

ΤΕΤΡΑΜΕΤΡΑ.

4.

Εἰς τὸ Κυλικράνων βαδίζων σπληνόπεδον ἀφικόμην·
εἶδον οὖν τὴν Ἡράκλειαν καὶ μάλ' ὡραίαν πόλιν.

5.

Ὕστερον δ' αὐτὸν στρατηγὸν οὓς ἀνειλωτημένην
καὶ κασαλβάζουσαν εἶδον καὶ σεσαλακωνισμένην.

7.

Γύναι, τὰ λευκὰ τῶν τριχῶν ἀπαμβλύνει
τὸν νοῦν.

ΗΜΙΑΜΒΟΙ.

10.

ΥΠΝΟΣ.

Φεύγωμεν ἐκ προςώπου
μή σ' ἐκπερῶν ὁ πρέσβυς
σὺλῇ κατευθὺ . .
βατηρίῃ καλύψῃ.

IX.

CERCIDAS.

ΙΑΜΒΟΙ.

1.

Ἦν καλλιπύγων ζεῦγος ἐν Συρακούσαις.

ΜΕΛΙΑΜΒΟΙ.

2.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – ⏑ –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

Οὐ μὰν ὁ πάρος γα Σινωπεύς
τῆνος ὁ βακτροφόρας, διπλοείματος, αἰθεριβόσκας,
ἀλλ' ἀνέβα χῆλος ποτ' ὀδόντας ἐρείσας,

VIII.

HERODAS.

ΜΙΜΙΑΜΒΟΙ.

1.

ΜΟΛΠΕΙΝΟΣ.

Ἐπὴν τὸν ἑξηκοστὸν ἥλιον κάμψῃς,
ὦ Γρύλλε, Γρύλλε, θνῆσκε καὶ τέφρη γίνευ·
ὡς τυφλὸς οὐπέκεινα τοῦ βίου καμπτήρ·
ἤδη γὰρ αὐγὴ τῆς ζόης ἀπήμβλυνται.

2.

ΣΥΝΕΡΓΑΖΟΜΕΝΑΙ.

Προςφὺς ὅκως εἰς χοιράδων ἐναρίτης.

3.

Η χαλκέην μοι μυῖαν ἢ κύθρην παίζει,
ἢ τῇσι μηλάνθῃσιν ἅμματ᾽ ἐξάπτων
τοῦ κεσκίου μοι τὸν γέροντα λωβῆται.

4.

Μὴ δὴ κόρη τὺ τὴν χολὴν ἐπὶ ῥῖνας
ἔχ᾽ εὐθύς, ἤν τι ῥῆμα μὴ σοφὸν πεύθῃ·
γυναικός ἐστι κρηγύης φέρειν πάντα.

5.

Ὡς οἰκίην οὐκ ἔστιν εὐμαρέως εὑρεῖν
ἄνευ κακῶν ζώουσαν· ὃς δ᾽ ἔχει μεῖον,
τοῦτόν τι μεῖζον τοὐτέρου δόκει πρήσσειν.

6.

Ἐγὼ δ᾽ ἀδραίνω γυιὸς ὤν· τὸ γὰρ γῆρας
ἡμέας καθέλκει, κἢν σκιῇ παραστήκῃ.

7.

Γύναι, τὰ λευκὰ τῶν τριχῶν ἀπαμβλύνει
τὸν νοῦν.

ΗΜΙΑΜΒΟΙ.

10.

ΥΠΝΟΣ.

Φεύγωμεν ἐκ προςώπου
μή σ' ἐκπερῶν ὁ πρέσβυς
οὐλῇ κατευθὺ . .
βατηρίῃ καλύψῃ.

IX.

CERCIDAS.

ΙΑΜΒΟΙ.

1.

Ἦν καλλιπύγων ζεῦγος ἐν Συρακούσαις.

ΜΕΛΙΑΜΒΟΙ.

2.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – ⏑ –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

Οὐ μὰν ὁ πάρος γα Σινωπεύς
τῆνος ὁ βακτροφόρας, διπλοείματος, αἰθεριβόσκας,
ἀλλ' ἀνέβα κῆλος ποτ' ὀδόντας ἐρείσας,

καὶ τὸ πνεῦμα συνδακών·
ἦς γὰρ ἀλαθέως
Διογενὴς Ζανὸς γόνος οὐράνιός τε κύων.

3.

. . . ⏑ – – –́ ⏑ – ⏓.
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓

Ὁ τᾶς ῥικνᾶς χελώνας
ἐμναμόνευ᾿. οἶκος γὰρ ἄριστος ἀλαθέως καὶ φίλος.

4.

–́ ⏑ – – –́ ⏑ – ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ ⏓

[Νοῦς ὁρῇ καὶ νοῦς ἀκούει·]
πῶς κεν ἴδοιεν τὰν σοφίαν πέλας ἑστακυῖαν
ἀνέρες, ὧν τὸ κέαρ παλῷ σέσακται
καὶ δυσεκνίπτῳ τρυγί;

X.

AESCHRIO.

IAMBOI.

1.

Ἐγὼ Φιλαινὶς ἡ ᾿πίβωτος ἀνθρώποις
ἐνταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι·
μή μ᾿, ὦ μάταιε ναῦτα, τὴν ἄκραν κάμπτων
χλεύην τε ποιεῦ καὶ γέλωτα καὶ λάσθην·
οὐ γὰρ μὰ τὸν Ζεῦν, οὐ μὰ τοὺς κάτω κούρους
οὐκ ἦν ἐς ἄνδρας μάχλος οὐδὲ δημώδης·
Πολυκράτης δέ, τὴν γονὴν Ἀθηναῖος,
λόγων τι παιπάλημα καὶ κακὴ γλῶσσα,
ἔγραψεν ἅσσ᾿ ἔγραψ᾿· ἐγὼ γὰρ οὐκ οἶδα.

2.

Μήνη τὸ καλὸν οὐρανοῦ νέον σίγμα.

* 3.

Στενὸν καθ' Ἑλλήσποντον, ἐμπόρων χώρην,
ναῦται θαλάσσης ἐστρέφοντο μύρμηκες.

* 4.

Ὁ δ' ἐξελὼν ἱμάντα φορτίου ζώνην.

* 5.

Ἶρις δ' ἔλαμψε, καλὸν οὐρανοῦ τόξον.

* 6.

Καὶ πίσσαν ἑφθήν, ᾗ θύραι μυρίζονται.

ΤΕΤΡΑΜΕΤΡΑ.

7.

Καὶ θεῶν ἄγρωστιν εὗρες, ἣν Κρόνος κατέσπειρεν.

ΕΦΗΜΕΡΙΣ.

9.

Σὺν δ' ἐχύθη ψυχίν, πουλύς τέ μιν ἔσχ' ὀρυμαγδός.

XI.

PHOENIX.

1.

Ἐσθλοὶ κορώνῃ χεῖρα πρόςδοτε κριθέων
τῇ παιδὶ τἀπόλλωνος ἢ λέκος πυρῶν
ἢ ἄρτον ἢ ἥμαιθον ἢ ὅ τι τις χρήζει·
δότ᾽ ὦ ᾽γαθοί τι τῶν ἕκαστος ἐν χερσίν
ἔχει κορώνῃ· χἄλα λήψεται χόνδρον·
φιλεῖ γὰρ αὕτη πάγχυ ταῦτα δαίνυσθαι·
ὁ νῦν ἅλας δοὺς αὖθι κηρίον δώσει.
ὦ παῖ θύρην ἄγκλινε. Πλοῦτος ἤκουσεν.
καὶ τῇ κορώνῃ παρθένος φέροι σῦκα.
θεοί, γένοιτο πάντ᾽ ἄμεμπτος ἡ κούρη,
κἀφνειὸν ἄνδρα κὠνομαστὸν ἐξεύροι·
καὶ τῷ γέροντι πατρὶ κοῦρον εἰς χεῖρας,
καὶ μητρὶ κούρην εἰς τὰ γοῦνα κατθείη,
θάλος τρέφειν γυναῖκα τοῖς κασιγνήτοις.
ἐγὼ δ᾽ ὅκου πόδες φέρουσιν ὀφθαλμοὺς
ἀμείβομαι Μούσαισι πρὸς θύραις ᾄδων
καὶ δόντι καὶ μὴ δόντι πλείονα τῶν γ᾽ ἐῶ.

* * *

ἀλλ᾽ ὦ ᾽γαθοὶ ᾽πορέξαθ᾽ ὧν μυχὸς πλουτεῖ
δόμου. δὸς ὦναξ καὶ σὺ πολλά μοι νύμφη.
νόμος κορώνῃ χεῖρα δοῦν ἐπαιτούσῃ.
τοσοῦτον εἰδὼς δός τι καὶ καταχρήσει.

2.

Ἀνὴρ Νίνος τις ἐγένεθ᾽ ὡς ἐγὼ κλύω
Ἀσσύριος, ὅςτις εἶχε χρυσίου πόντον
καὶ τἆλλα πολλῷ πλέονα Κασπίης ψάμμου·
ὃς οὐκ ἴδ᾽ ἀστέρ᾽ οὐδ᾽ ἰδὼν ἐδίζητο,
οὐ παρὰ μάγοισι πῦρ ἱερὸν ἀνέστησεν,
ὥςπερ νόμος, ῥάβδοισι τοῦ θεοῦ ψαύων·

οὐ μυθιήτης, οὐ δικασπόλος κεῖνος,
οὐ λεωλογεῖν ἐμάνθαν᾽, οὐκ ἀμιθρῆσαι·
ἀλλ᾽ ἦν ἄριστος ἐσθίειν τε καὶ πίνειν
κηρᾶν, τὰ δ᾽ ἄλλα πάντα κατὰ πετρῶν ὦθει.
ὡς δ᾽ ἀπέθαν᾽ ὡνὴρ πᾶσι κατέλιπεν ῥῆσιν,
ὅκου Νίνος νῦν ἐστι καὶ τὸ σῆμ᾽ ᾄδει·
ἄκουσον εἴτ᾽ Ἀσσύριος εἴτε καὶ Μῆδος
εἶς ἢ Κοραξὸς ἢ ᾽πὸ τῶν ἄνω λιμνῶν
Σινδὸς κομητής· οὐ γὰρ ἀλλὰ κηρύσσω·
ἐγὼ Νίνος πάλαι ποτ᾽ ἐγενόμην πνεῦμα,
νῦν δ᾽ οὐκ ἔτ᾽ οὐδέν, ἀλλὰ γῆ πεποίημαι·
ἔχω δ᾽ ὁκόσον ἔδαισα χὠκόσ᾽ ἤεισα
χὠκόσσ᾽ ἐράσθην. * * * *
τὰ δ᾽ ὄλβι᾽ ἡμέων δήϊοι συνελθόντες
φέρουσιν ὥςπερ ὠμὸν ἔριφον αἱ Βάκχαι.
ἐγὼ δ᾽ ἐς ᾅδην οὔτε χρυσὸν οὔθ᾽ ἵππον
οὔτ᾽ ἀργυρῆν ἅμαξαν ᾠχόμην ἕλκων·
σποδὸς δὲ πελλὴ χὠ μιτρηφόρος κεῖμαι.

3.

Νίνου κάδοι μάχαιρα καὶ κύλιξ αἰχμή,
κόμη δὲ τόξα, δήϊοι δὲ κρητῆρες,
ἵπποι δ᾽ ἄκρητος, κάλαλή· μύρον χεῖτε.

4.

Θαλῆς γάρ, ὅςτις ἀστέρων ὀνήϊστος
καὶ τῶν τότ᾽ ὡς λέγουσι πολλὸν ἀνθρώπων
ἐὼν ἄριστος, ἔλαβε πελλίδα χρυσῆν.

5.

Ἐκ πελλίδος γὰρ τάργανον κατηγυίης
χωλοῖσι δακτύλοισι τἠτέρῃ σπένδει,
τρέμων οἷόν περ ἐν βορηίῳ νωδός.

XII.

APOLLONIUS RHODIUS.

ΚΑΝΩΠΟΣ.

1.

Κορινθιουργές ἐστι κιόνων σχῆμα.

2.

Τέρψει δὲ νηῶν ὁ γλυκύς σε χωρίτης
πλόος κομίζων δῶρα πλουσίου Νείλου.

XIII.

CHARINUS.

Ἔρροις πλανῆτι καὶ κακὴ πέτρη Λευκάς,
Χαρῖνον, αἰαῖ, τὴν ἰαμβικὴν Μοῦσαν
κατηθάλωσας ἐλπίδος κενοῖς μύθοις·
τοιαῦτ' Ἔρωτος Εὐπάτωρ ἐρασθείη.

XIV.

PARMENO.

1.

Ἀνὴρ γὰρ ἕλκων οἶνον ὡς ὕδωρ ἵππος
σκυθιστὶ φωνεῖ, κοὐδὲ κόππα γιγνώσκων
. . . .
κεῖται δ' ἄναυδος ἐν πίθῳ κολυμβήσας
κάθυπνος, ὡς μήκωνα φάρμακον πίνων.

2.

Ἦλθον μακρὴν θάλασσαν, οὐκ ἄγων σῦκα
Καναῖα φόρτον.

εἰς τὴν πόλιν κατῆγε πάντας ὁρκώσων·
τῶν γὰρ θεῶν δοκοῦσι τοὺς μὲν εὐήθεις
ἀγροὺς κατοικεῖν, τοὺς δ' ἐσωτέρω τείχους
εἶναί τ' ἀληθεῖς καὶ τὰ πάντ' ἐποπτεύειν.
ὡς δ' εἰσιόντες τὰς πύλας ἐπὶ κρήνης
τοὺς πόδας ἔνιζον κἀπέθεντο τὰς πήρας,
κῆρυξ ἐφώνει χιλίας ἀριθμήσειν
μήνυτρα σύλων, ὧν ὁ θεὸς ἐσυλήθη.
ὁ δὲ τοῦτ' ἀκούσας εἶπεν· „Ὡς μάτην ἥκω!
„κλέπτας γὰρ ἄλλους πῶς θεός γ' ἂν εἰδείη,
„ὃς τοὺς ἑαυτοῦ φῶρας οὐχὶ γιγνώσκει,
„ζητεῖ δὲ μισθοῦ μή τις οἶδεν ἀνθρώπων;“

Ὅτι χρὴ ἀπιστεῖν τοῖς ὑπισχνουμένοις ὧν οὐκ εἰσὶ δεσπόται.

3.

(ΑΙΠΟΛΟΣ ΚΑΙ ΑΙΞ.)

Αἶγάς ποτ' εἰς ἔπαυλιν αἰπόλος χρῄζων
ἐπὶ σηκὸν ἄγειν θ', ὡς αἱ μὲν ἦλθον, αἱ δ' οὔπω,
μιᾶς ἀπειθοῦς ἐν φάραγγι τρωγούσης
κόμην γλυκεῖαν αἰγίλου τε καὶ σχίνου,
τὸ κέρας κατέαξε μακρόθεν λίθῳ πλήξας.
τὴν δ' ἱκέτευε· „Μή, χίμαιρα σύνδουλη,
„πρὸς τοῦ σε Πανός, ὃς νάπας ἐποπτεύει,
„τῷ δεσπότῃ, χίμαιρα, μή με μηνύσῃς·
„ἄκων γὰρ ηὐστόχησα τὸν λίθον ῥίψας.“
ἡ δ' εἶπε· „Καὶ πῶς ἔργον ἐκφανὲς κρύψω;
„τὸ κέρας κέκραγε, κἂν ἐγὼ σιωπήσω.“

Ὅτι τὰ δημοσίᾳ ἁμαρτηθέντα κατ' οὐδένα τρόπον χρὴ κρύπτειν.

4.

(ΑΛΙΕΥΣ ΚΑΙ ΙΧΘΥΣ.)

Ἁλιεὺς σαγήνην, ἣν νεωστὶ βεβλήκει,
ἀνείλετ'· ὄψου δ' ἔτυχε ποικίλου πλήρης.
τῶν δ' ἰχθύων ὁ λεπτὸς εἰς βυθὸν φεύγων
ὑπεξέδυνε δικτύου πολυτρήτου·

ὁ μέγας δ᾽ ἀγρευθεὶς εἰς τὸ πλοῖον ἡπλώθη.
Σωτηρία πως ἐστὶ καὶ κακῶν ἔξω
τὸ μικρὸν εἶναι· τὸν μέγαν δὲ τῇ δόξῃ
σπανίως ἴδοις ἂν ἐκφυγόντα κινδύνων.

5.

(ΑΛΕΚΤΟΡΙΣΚΟΙ.)

Ἀλεκτορίσκων ἦν μάχη Ταναγραίων,
οἷς θυμὸν εἶναί φασιν οἷον ἀνθρώποις.
τούτων ὁ λειφθείς, τραυμάτων γὰρ ἦν πλήρης,
ἔκρυπτ᾽ ἐς οἴκου γωνίην ὑπ᾽ αἰσχύνης.
ὁ δ᾽ ἄλλος εὐθὺς εἰς τὸ δῶμα πηδήσας
ἐπικροτῶν τε τοῖς πτεροῖς ἐκεκράγει.
καὶ τὸν μὲν ἀετός τις ἐκ στέγους ἄρας
ἀπῆλθ᾽· ὁ δ᾽ ἀδεῶς ἐπανέβαινε θηλείαις,
ἀμείνονα σχὼν τἀπίχειρα τῆς ἥττης.
Ἄνθρωπε, καὶ σὺ μή ποτ᾽ ἴσθι καυχήμων,
ἄλλου πλέον σε τῆς τύχης ἐπαιρούσης·
πολλοὺς ἔσωσε καὶ τὸ μὴ καλῶς πράττειν.

6.

(ΑΛΙΕΥΣ ΚΑΙ ΙΧΘΥΔΙΟΝ.)

Ἁλιεὺς θαλάσσης πᾶσαν ἠόνα ξύων
λεπτῷ τε καλάμῳ τὸν γλυκὺν βίον σῴζων
μικρόν ποτ᾽ ἰχθὺν ὁρμιῆς ἀφ᾽ ἱππείης
ἤγρευσεν ἐκ τῶν εἰς τάγηνον ὡραίων.
ὁ δ᾽ αὐτὸν οὕτως ἱκέτευεν ἀσπαίρων·
„Τί σοι τὸ κέρδος; ἢ πόσου με πωλήσεις;
„οὐκ εἰμὶ γὰρ τέλειος· ἀλλά με πρῴην
„πρὸς τῇδε πέτρῃ φυκὶς ἀπέκυσεν μήτηρ.
„νῦν οὖν ἄφες με· μὴ μάτην ἀποκτείνῃς.
„ἐπὴν δὲ πλησθεὶς φυκίων θαλασσαίων
„μέγας γένωμαι, πλουσίοις πρέπων δείπνοις,
„τότ᾽ ἐνθάδ᾽ ἐλθὼν ὕστερόν με συλλήψῃ.“
τοιαῦτα μύζων ἱκέτευε κἀσπαίρων·
ἀλλ᾽ οὐκ ἔμελλε τὸν γέροντα θωπεύσειν.

ἔφη δὲ πείρων αὐτὸν ὀξείῃ σχοίνῳ·
„Ὁ μὴ τὰ μικρά, πλὴν βέβαια, τηρήσας
„μάταιός ἐστιν, ἂν γ' ἄδηλα θηρεύῃ.

7.

(ΙΠΠΟΣ ΚΑΙ ΟΝΟΣ.)

Ἄνθρωπος ἵππον εἶχε. τοῦτον εἰώθει
κενὸν παρέλκειν· ἐπετίθει δὲ τὸν φόρτον
ὄνῳ γέροντι. πολλὰ τοιγαροῦν κάμνων
ἐκεῖνος ἐλθὼν πρὸς τὸν ἵππον ὡμίλει·
„Ἄν μοι θελήσῃς συλλαβεῖν τι τοῦ φόρτου,
„τάχ' ἂν γενοίμην σῶος· εἰ δὲ μή, θνήσκω."
ὁ δ' „Οὐ προάξεις;" εἶπε, „μηδ' ἐνοχλήσῃς."
εἷρπεν σιωπῶν· τῷ κόπῳ δ' ἀπαυδήσας
πεσὼν ἔκειτο νεκρός, ὡς προειρήκει.
τὸν ἵππον οὖν παρ' αὐτὸν εὐθέως στήσας
ὁ δεσπότης καὶ πάντα τὸν γόμον λύων
ἐπ' αὐτὸν ἐτίθει, τὴν σάγην τε τοῦ κτήνους
καὶ τὴν ὀνείην προσεπέθηκεν ἐκδείρας.
ὁ δ' ἵππος „Οἴμοι τῆς κακῆς" ἔφη „γνώμης·
„οὗ γὰρ μετασχεῖν μικρὸν οὐκ ἠβουλήθην,
„τοῦτ' αὐτό μοι πᾶν ἐπιτέθεικεν ἡ χρεία."

8.

(ΑΡΑΨ ΚΑΙ ΚΑΜΗΛΟΣ.)

Ἄραψ κάμηλον ἀχθίσας ἐπηρώτα,
πότερ' ἀναβαίνειν μᾶλλον ἢ κάτω βαίνειν
αἱροῖτο. χὠ κάμηλος, οὐκ ἄτερ μούσης,
εἶφ'· „Ἡ γὰρ ὀρθὴ τῶν ὁδῶν ἀπεκλείσθη;"

Ὁ λόγος εὔθετος πρὸς ἄνδρας [διεστραμμένους] τῆς εὐθείας ὁδοῦ κλίνοντας.

9.

(ΑΛΙΕΥΣ ΑΥΛΩΝ.)

Ἁλιεύς τις αὐλοὺς εἶχε καὶ σοφῶς ηὔλει.
καὶ δή ποτ' ὄψον ἐλπίσας ἀμοχθήτως

πολὺ πρὸς αὐλῶν ἡδυφωνίην ἥξειν,
τὸ δίκτυον θεὶς ἐτερέτιζεν εὐμούσως.
ἐπεὶ δὲ φυσῶν ἔκαμε καὶ μάτην ηὔλει,
βαλὼν σαγήνην ἔλαβεν ἰχθύας πλείστους.
ἐπὶ γῆς δ' ἰδὼν σπαίροντας ἄλλον ἀλλοίως,
τοιαῦτ' ἐκερτόμησε, τὸν βόλον πλύνων·
„Ἄναυλα νῦν ὀρχεῖσθε· κρεῖσσον ἦν ὕμας
„πάλαι χορεύειν, ἡνίκ' εἰς χοροὺς ηὔλουν."
Οὐκ ἔστιν ἀπόνως οὐδ' ἀλύοντα κερδαίνειν·
ὅταν βαλὼν δὲ τοῦθ' ἕλῃς ὅπερ βούλει,
τότε κερτομεῖν σοι καιρός ἐστι καὶ παίζειν.

Ὁ μῦθος λέλεκται πρὸς τοὺς [ματαίως] παρὰ τὸ δέον τι ἐργαζο

10.

(ΔΟΥΛΗ ΚΑΙ ΑΦΡΟΔΙΤΗ.)

Αἰσχρᾶς τις ἤρα καὶ κακοῤῥύπου δούλης
ἰδίας ἑαυτοῦ, καὶ παρεῖχεν αἰτούσῃ
ἅπανθ' ἑτοίμως. ἡ δέ, χρυσίου πλήρης,
σύρουσα λεπτὴν πορφύραν ἐπὶ κνήμας,
πᾶσαν μάχην συνῆπτεν οἰκοδεσποίνῃ.
τὴν δ' Ἀφροδίτην, ὥσπερ αἰτίην τούτων,
λύχνοις ἐτίμα καὶ καθ' ἡμέραν πᾶσαν
ἔθυεν, ηὔχεθ', ἱκέτευεν, ἠρώτα,
ἕως πότ' αὐτῶν ἡ θεὸς καθευδόντων
ἦλθεν καθ' ὕπνους καὶ φανεῖσα τῇ δούλῃ
„Μή μοι χάριν σχῇς ὡς καλήν σε ποιούσῃ·
„τούτῳ κεχόλωμαι" φησίν, „ᾧ καλὴ φαίνῃ."
Ἅπας ὁ τοῖς αἰσχροῖσιν ὡς καλοῖς χαίρων
θεοβλαβής τίς ἐστι καὶ φρένας πηρός.

11.

(ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

Ἀλώπεκ' ἐχθρὰν ἀμπέλων τε καὶ κήπων
ξένῃ θελήσας περιβαλεῖν τις αἰκίῃ,
τὴν κέρκον ἅψας καὶ λίνον τι προσδήσας,
ἀφῆκε φεύγειν. τὴν δ' ἐπίσκοπος δαίμων

ἐς τὰς ἀρούρας τοῦ λαβόντος ὡδήγει
τὸ πῦρ φέρουσαν. ἦν δὲ ληΐων ὥρη
καὶ καλλίπαις ἄμητος ἐλπίδων πλήρης.
ὁ δ' ἠκολούθει τὸν πολὺν κόπον κλαίων·
οὐδ' εἶδεν αὐτοῦ τὴν ἅλωνα Δημήτηρ.
Χρὴ πρᾶον εἶναι μηδ' ἄμετρα θυμοῦσθαι.
ἔστιν τις ὀργῆς νέμεσις, ἣν φυλαττοίμην,
αὐτοῖς βλάβην φέρουσα τοῖς δυσοργήτοις.

12.

(*ΑΗΔΩΝ ΚΑΙ ΧΕΛΙΔΩΝ.*)

Ἀγροῦ χελιδὼν μακρὸν ἐξεπωτήθη.
εὗρεν δ' ἐρήμοις ἐγκαθημένην ὕλαις
ἀηδόν' ὀξύφωνον· ἡ δ' ἀπεθρήνει
Ἴτυλον ἄωρον ἐκπεσόντα τῆς ὥρης.
ἐκ τοῦ μέλους δ' ἔγνωσαν αἱ δύ' ἀλλήλας·
καὶ δὴ προσέπτησάν τε καὶ προσωμίλουν.
χἠ μὲν χελιδὼν εἶπε· ,,Φιλτάτη ζῴεις;
,,πρῶτον βλέπω σε σήμερον μετὰ Θρᾴκην.
,,ἀεί τις ἡμᾶς πικρὸς ἔσχισεν δαίμων·
,,καὶ παρθένοι γὰρ χωρὶς ἦμεν ἀλλήλων.
,,ἀλλ' ἐλθ' ἐς ἀγρὸν καὶ πρὸς οἶκον ἀνθρώπων·
,,σύσκηνος ἡμῖν καὶ φίλη κατοικήσεις,
(ὅπου γεωργοῖς κοὐχὶ θηρίοις ᾄσεις.)
[,,ὕπαιθρον ὕλην λεῖπε καὶ παρ' ἀνθρώποις
,,ὁμώροφόν μοι δῶμα καὶ στέγην οἴκει.]
,,τί σε δροσίζει νυκτὸς ἔννυχος στίβη
,,καὶ καῦμα θάλπει; πάντα δ' ἀγρώτην τήκει·
[,,ἄγε δὴ σεαυτὴν σοφὰ λαλοῦσα μήνυσον.'']
τὴν δ' αὖτ' ἀηδὼν ὀξύφωνος ἠμείφθη·
,,Ἔα με πέτραις ἐμμένειν ἀοικήτοις·
,,καὶ μή μ' ὀρεινῆς ὀργάδος σὺ χωρίσῃς.
,,μετὰ τὰς Ἀθήνας ἄνδρα καὶ πόλιν φεύγω·
,,οἶκος δέ μοι πᾶς κἀπίμιξις ἀνθρώπων
,,λύπην παλαιῶν συμφορῶν ἀναξαίνει.''
Παραμυθία τίς ἐστι τῆς κακῆς μοίρης
λόγος σοφὸς καὶ μοῦσα καὶ φυγὴ πλήθους·

λύπη δ', ὅταν τις (οἷσιν) εὐθενῶν ὤφθη,
τούτοις ταπεινὸς αὖθις ὢν συνοικήση.

Ὅτι συμφέρει τῷ ἠδικημένῳ πόῤῥω γενέσθαι τῶν εἰς ἀνάμνησιν αὐτὸν φερόντων κακῶν.

13.

(*ΓΕΩΡΓΟΣ ΚΑΙ ΠΕΛΑΡΓΟΣ.*)

Αὔλαξι λεπτὰς παγίδας ἀγρότης πήξας
γεράνους σποραίων πολεμίας συνειλήφει.
τοῦτον πελαργὸς ἱκέτευε χωλεύων·
ὁμοῦ γὰρ αὐταῖς καὶ πελαργὸς ἡλώκει·
„Οὐκ εἰμὶ γέρανος· οὐ σπόρον καταφθείρω.
„πελαργός εἰμι (χὴ χρόη με σημαίνει),
„πτηνῶν πελαργὸς εὐσεβέστατον ζώων·
„τὸν ἐμὸν τιθηνῶ πατέρα καὶ νοσηλεύω."
κἀκεῖνος „Ὦ πελαργέ, τίνι βίῳ χαίρεις
„οὐκ οἶδα," φησίν, „ἀλλὰ τοῦτο γινώσκω·
„ἔλαβόν σε σὺν ταῖς τἄργα τἀμὰ πορθούσαις.
„ἀπολῇ μετ' αὐτῶν τοιγαροῦν, μεθ' ὧν ἥλως."
Κακοῖς ὁμιλῶν ὡς ἐκεῖνοι μισήσῃ,
κἂν μηδὲν αὐτὸς τοὺς πέλας καταβλάψῃς.

Ὁ λόγος διδάσκει φεύγειν ἡμᾶς τὰς τῶν πονηρῶν ἀνθρώπων κοινωνίας, ἵνα μὴ τῇ αὐτῶν κακίᾳ συναπολώμεθα.

14.

(*ΑΡΚΤΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.*)

Ἄρκτος φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει·
νεκρὸν γὰρ αὐτοῦ σῶμ' ἔφασκε μὴ σύρειν.
πρὸς ἣν ἀλώπηξ εἶπε· „Μᾶλλον ᾑρούμην,
„εἰ νεκρὸν εἷλκες, τοῦ δὲ ζῶντος οὐχ ἥπτου."
Ὁ ζῶντα βλάπτων μή νεκρόν με θρηνείτω.

15.

(*ΑΘΗΝΑΙΟΣ ΑΝΗΡ ΚΑΙ ΘΗΒΑΙΟΣ.*)

Ἀνὴρ Ἀθηναῖός τις ἀνδρὶ Θηβαίῳ
κοινῶς ὁδεύων, ὥσπερ εἰκὸς ὡμίλει.

ῥέων δ' ὁ μῦθος ἦλθε μέχρις ἡρώων·
μακρὴ μὲν ἄλλως ῥῆσις οὐδ' ἀναγκαίη.
τέλος δ' ὁ μὲν Θηβαῖος υἱὸν Ἀλκμήνης
μέγιστον ἀνδρῶν, νῦν δὲ καὶ θεῶν ὕμνει·
ὁ δ' ἐξ Ἀθηνῶν ἔλεγεν, ὡς πολὺ κρείσσων
Θησεὺς γένοιτο, καὶ τύχης ὁ μὲν θείης
ὄντως λέλογχεν, Ἡρακλῆς δὲ δουλείης.
λέγων δ' ἐνίκα· στωμύλος γὰρ ἦν ῥήτωρ·
ὁ δ' ἄλλος, ὡς Βοιωτός, οὐκ ἔχων ἴσην
λόγοις ἅμιλλαν, εἶπεν ἀγρίῃ μούσῃ·
„Πέπαυσο· νικᾷς. τοιγαροῦν χολωθείη
„Θησεὺς μὲν ἡμῖν, Ἡρακλῆς δ' Ἀθηναίοις."

Ὅτι οὐ δεῖ τοὺς μεγιστᾶνας κινεῖν εἰς ὀργὴν κατὰ τῶν ὑπεξουσίων. — Εἰς ματαιολογίας καὶ ἔριδας.

16.

(ΛΥΚΟΣ ΚΑΙ ΓΡΑΥΣ.)

Ἄγροικος ἠπείλησε νηπίῳ τίτθη
κλαίοντι· „Παῦσαι, μή σε τῷ λύκῳ ῥίψω."
ὁ λύκος δ' ἀκούσας τήν τε γραῦν ἀληθεύειν
νομίσας ἔμεινεν, ὡς ἕτοιμα δειπνήσων,
ἕως ὁ παῖς μὲν ἑσπέρης ἐκοιμήθη·
αὐτὸς δὲ πεινῶν καὶ λύκος χανὼν ὄντως
ἀπῆλθε νωθραῖς ἐλπίσιν παρεδρεύσας.
λύκαινα δ' αὐτὸν ἡ σύνοικος ἠρώτα·
„Πῶς οὐδὲν ἄρας ἦλθες, ὥσπερ εἰώθεις;"
ὁ δ' εἶπε· „Πῶς γάρ, ὃς γυναικὶ πιστεύω;"

Διδάσκει ἡμᾶς ὁ μῦθος ὅτι οὐ χρὴ πᾶσι πιστεύειν, γυναικὶ δὲ μάλιστα, μεγάλα καὶ πάμπολλα ἐπαγγελλομένῃ. — Πρὸς τὸν κεναῖς ἀπάταις ἐξαπατηθέντα.

17.

(ΑΙΛΟΥΡΟΣ ΚΑΙ ΑΛΕΚΤΡΥΩΝ.)

Αἴλουρος ὄρνεις οἰκίης ἐνεδρεύων
ὡς θύλακός τις πασσάλων ἀπηρτήθη·
τὸν δ' εἶδ' ἀλέκτωρ πινυτὸς ἀγκυλογλώχιν,
καὶ ταῦτ' ἐκερτόμησεν ὀξὺ φωνήσας·

„Πολλοὺς μὲν οἶδα θυλάκους ἰδὼν ἤδη·
„οὐδεὶς δ' ὀδόντας εἶχεν αἰλούρου ζῶντος.“

Πρὸς τοὺς ἀπὸ πείρας γνωρισθέντας κακούργους, καὶ [illegible] των ὑποκρίσεσί τινα ἐξαπατᾶσθαι.

ΑΡΧΗ ΤΟΥ Β.

18.

(ΒΟΡΕΑΣ ΚΑΙ ΗΛΙΟΣ.)

Βορέῃ λέγουσιν Ἡλίῳ τε τοιαύτην
ἔριν γενέσθαι· πότερος ἀνδρὸς ἀγροίκου
ὁδοιποροῦντος τὴν σίσυρναν ἐκδύσει.
Βορέης δ' ἐφύσα πρῶτος οἷος ἐκ Θρᾴκης,
βίᾳ νομίζων τὸν φοροῦντα συλήσειν.
ὁ δ' οὐ μεθῆκε μαλλόν, ἀλλὰ ῥιγώσας
καθῆστο, πέτρης νῶτον ἐξοχῇ κλίνας
καὶ πάντα κύκλῳ χερσὶ κράσπεδα σφίγξας.
ὁ δ' Ἥλιος τὸ πρῶτον ἡδὺς ἐκκύψας
ἀνῆκεν αὐτὸν τοῦ δυσηνέμου ψύχους·
ἔπειτα δ' αὖ προσῆγε τὴν ἀλέην πλείω,
καὶ καῦμα τὸν γεωργὸν εἶχεν ἐξαίφνης·
αὐτὸς δὲ ῥίψας τὴν σισύραν ἐγυμνώθη.
Βορέης μὲν οὕτω συγκριθεὶς ἐνικήθη.
Λέγει δ' ὁ μῦθος· πρᾳότητα, παῖ, ζήλου·
ἀνύσεις τι πειθοῖ μᾶλλον ἢ βίᾳ ῥέζων.

Μῦθος παραινῶν, ὅτι οὐ χρὴ φιλόνεικον εἶναι, ἀλλὰ πρ[illegible] πειθοῖ ἀνύειν τὰ ἀνήκοντα.

19.

(ΒΟΤΡΥΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

Βότρυς μελαίνης ἀμπέλου παρ' αἰώρῃ
ἀπεκρέμαντο· τοὺς δὲ ποικίλη πλήρεις
ἰδοῦσα κερδὼ πολλάκις μὲν ὡρμήθη
πηδῶσα ποσσὶ πορφυρῆς θιγεῖν ὥρης·
ἦν γὰρ πέπειρος κεὶς τρύγητον ἀκμαία.

κάμνουσα δ' ἄλλως (οὐ γὰρ ἴσχυε ψαύειν)
[ὡς δ' οὐκ ἐφικνεῖτ', ἀλλ' ἔκαμνε πηδῶσα,
μηδὲν κρεμαστῆς σχοῦσα πλεῖον αἰώρας,]
παρῆκεν, οὕτω βουκολοῦσα τὴν λύπην·
„Ὄμφαξ ὁ βότρυς, οὐ πέπειρος, ὡς ᾤμην."

Ὁ μῦθος ἐλέγχει τοὺς εἰς ἀνέκβατα κοπιῶντας πράγματα καὶ τούτων ἀστοχοῦντας τρόπους ψευδεῖς προβαλλομένους.

20.

(ΒΟΗΛΑΤΗΣ ΚΑΙ ΗΡΑΚΛΗΣ.)

Βοηλάτης ἅμαξαν ἦγεν ἐκ κώμης.
τῆς δ' ἐμπεσούσης εἰς φάραγγα κοιλώδη,
δέον βοηθεῖν αὐτόν, ἀργὸς εἱστήκει·
τῷ δ' Ἡρακλεῖ προσηύχεθ', ὃν μόνον πάντων
θεῶν ἀληθῶς προσεκύνει τε κἀτίμα·
θεὸς δ' ἐπιστὰς εἶπε· „Τῶν τροχῶν ἅπτου
„καὶ τοὺς βόας κέντριζε· τοῖς θεοῖς δ' εὔχου,
„ὅταν τι ποιῇς καὐτός, ἢ μάτην εὔξῃ."

21.

(ΒΟΕΣ.)

Βόες μαγείρους ἀπολέσαι πότ' ἐζήτουν,
ἔχοντας αὐτοῖς πολεμίαν ἐπιστήμην.
καὶ δὴ συνηθροίζοντο, πρὸς μάχην ἤδη
κέρατ' ἀποξύνοντες. εἷς δέ τις λίην
γέρων ἐν αὐτοῖς (πολλὰ δ' ἦν ἀροτρεύσας)
„Οὗτοι μὲν ἡμᾶς" εἶπε „χερσὶν ἐμπείροις
„σφάζουσι καὶ κτείνουσι χωρὶς αἰκίης·
„ἢν δ' εἰς ἀτέχνους ἐμπέσωμεν ἀνθρώπους,
„διπλοῦς τότ' ἔσται θάνατος· οὐ γὰρ ἐλλείψει
„τὸν βοῦν ὁ θύσων, κἂν μάγειρος ἐλλείψῃ."
Ὁ τὴν παροῦσαν πημονὴν φεύγειν σπεύδων
ὁρᾶν ὀφείλει μή τι χεῖρον ἐξεύρῃ.

Ὁ μῦθος τοῦτο δηλοῖ, ὅτι ἄμεινον δουλεύειν σοφοῖς καὶ ἐπιεικέσιν ἢ δεσπόζεσθαι ὑπὸ σκαιῶν τε καὶ ἀπαιδεύτων.

22.

(*ΑΝΗΡ ΜΕΣΟΠΟΛΙΟΣ ΚΑΙ ΔΥΟ ΕΡΩΜΕΝΑΙ.*)

Βίου τις ἤδη τὴν μέσην ἔχων ὥρην
(νέος μὲν οὐκ ἦν, οὐδέπω δὲ πρεσβύτης)
λευκὰς μελαίναις μιγάδας ἐκλόνει χαίτας·
εἶτ' εἰς ἔρωτας ἐσχόλαζε καὶ κώμους·
ἤρα γυναικῶν δύο, νέας τε καὶ γραίας·
νέον μὲν αὐτὸν ἡ νεᾶνις ἐζήτει
βλέπειν ἐραστήν, συγγέροντα δ' ἡ γραῖα.
τῶν οὖν τριχῶν ἑκάστοθ' ἡ μὲν ἀκμαίη
ἔτιλλεν ἃς ηὕρισκε λευκανθιζούσας·
ἔτιλλε δ' ἡ γραῦς, εἰ μέλαιναν ηὑρήκει·
ἕως φαλακρὸν ἡ νέα τε χὴ γραῖα
ἔθηκαν, ἑκάστη τῶν τριχῶν ἀποσπῶσα·
ἀεὶ γὰρ ἕν γε τιλλόμενος ἐγυμνοῦτο.
Φάσκει δ' ὁ μῦθος τοῦτο πᾶσιν ἀνθρώποις·
ἐλεεινὸς ὅστις εἰς γυναῖκας ἐμπίπτει·
[ἀεὶ γὰρ ἕν γε δακνόμενος γυμνοῦται.]

23.

(*ΒΟΗΛΑΤΗΣ ΤΑΥΡΟΝ ἈΠΟΛΕΣΑΣ.*)

Βοηλάτης ἄνθρωπος εἰς μακρὰν ὕλην
ταῦρον κεράστην ἀπολέσας ἀνεζήτει·
ἔθηκε δ' εὐχὴν ταῖς ὀρεινόμοις νύμφαις,
Ἑρμῇ νομαίῳ, Πανί, τοῖς πέριξ, ἄρνα
λοιβὴν παρασχεῖν, εἰ λάβοιτο τὸν κλέπτην.
ὄχθον δ' ὑπερβὰς τὸν καλὸν βλέπει ταῦρον
λέοντι θοίνην· δυστυχὴς δ' ἐπαρᾶται
καὶ βοῦς προσάξειν, εἰ φύγοι γε τὸν κλέπτην.
Ἐντεῦθεν ἡμᾶς τοῦτ' ἔοικε γινώσκειν·
ἄβουλον εὐχὴν τοῖς θεοῖσι μὴ πέμπειν,
ἐκ τῆς πρὸς ὥραν ἐκφοβουμένους λύπης.

ΑΡΧΗ ΤΟΥ Γ.

24.

(ΓΑΜΟΙ ΗΛΙΟΥ.)

Γάμοι μὲν ἦσαν Ἡλίου θέρους ὥρῃ·
τὰ ζῷα δ' ἱλαροὺς ἦγε τῷ θεῷ κώμους.
καὶ βάτραχοι δὲ λιμναίους χοροὺς ἦγον·
οἷς εἶπε παύσας φρῦνος· „Οὐχὶ παιάνων
„τοῦτ' ἐστὶν ἡμῖν, φροντίδων δὲ καὶ λύπης·
„ὃς γὰρ μόνος νῦν λιβάδα πᾶσαν αὐαίνει,
„τί μὴ πάθωμεν τῶν κακῶν, ἐὰν γήμας
„ὅμοιον αὐτῷ παιδίον τι γεννήσῃ;"
Χαίρουσι πολλοὶ τῶν ὑπερβολῇ κούφων,
ἐφ' οἷς ἄγαν μέλλουσιν οὐχὶ χαιρήσειν.

25.

(ΛΑΓΩΟΙ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.)

Γνώμη λαγωοὺς εἶχε μηκέτι ζώειν,
πάντας δὲ λίμνης εἰς μέλαν πεσεῖν ὕδωρ,
ὁθούνεκ' εἰσὶν ἀδρανέστατοι ζῴων
ψυχάς τ' ἄτολμοι, μοῦνον εἰδότες φεύγειν.
ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦσαν εὐρείης
καὶ βατράχων ὅμιλον εἶδον ἀκταίων
βαθέην ἐς ἰλὺν ὀκλαδιστὶ πηδώντων,
ἐπεστάθησαν, καί τις εἶπε θαρσήσας·
„ἄψ νῦν ἴωμεν· οὐκέτι χρεὼν θνήσκειν·
ὁρῶ γὰρ ἡμῶν ἀσθενεστέρους ἄλλους."

26.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΓΕΡΑΝΟΙ.)

Γέρανοι γεωργοῦ κατενέμοντο τὴν χώρην
ἐσπαρμένην νεωστὶ πυρίνῳ σίτῳ.
ὁ δ' ἄχρι πολλοῦ σφενδόνην κενὴν σείων,
ἐδίωκεν αὐτὰς τῷ φόβῳ καταπλήσσων.
αἱ δ' ὡς ἐπέσχον σφενδονῶντα τὰς αὔρας,
κατεφρόνησαν λοιπόν, ὥστε μὴ φεύγειν,

ἕως ἐκεῖνος οὐκέθ᾽, ὡς πρὶν εἰώθει,
λίθους δὲ βάλλων, ἠλόησε τὰς πλείους.
αἱ δ᾽ ἐκλιποῦσαι τὴν ἄρουραν ἀλλήλαις
„Φεύγωμεν“ ἐκραύγαζον „εἰς τὰ Πυγμαίων·
„ἄνθρωπος οὗτος οὐκέτ᾽ ἐκφοβεῖν ἥμας
„ἔοικεν· ἤδη δ᾽ ἄρχεταί τι καὶ πράσσειν.“

Παραίνεσιν ὁ λόγος ἔχει δεῖν ταῖς ἐκ λόγων παραινέσεσι πταίοντας εἴκειν, ἵνα μὴ ταῖς ἐξ ἔργων ὀψέ ποτε πειραθεῖεν ὀδύναις.

27.

(ΓΑΛΗ ΣΥΛΛΗΦΘΕΙΣΑ.)

Γαλῆν δόλῳ τις συλλαβών τε καὶ δήσας
ἔπνιγεν ὑδάτων ἐν συναγκείᾳ κοίλῃ·
τῆς δ᾽ αὖ λεγούσης, „Ὡς κακὴν χάριν τίνεις
„ὧν ὠφέλουν θηρῶσα μῦς τε καὶ σαύρας.“
„Ἐπιμαρτυρῶ σοι,“ φησίν, „ἀλλὰ καὶ πάσας
„ἔπνιγες ὄρνεις, πάντα δ᾽ οἶκον ἠρήμους,
(„κρεῶν δ᾽ ἀνέῳγες ἄγγος· ὥστε τεθνήξῃ,)
„βλάπτουσα μᾶλλον ἤπερ ὠφελοῦσ᾽ ἥμας.“

Πρὸς τοὺς μετρίως μὲν ὠφελοῦντας, βλάπτοντας δὲ τὰ μεγάλα, εὔκαιρός ἐστιν ὁ λόγος.

28.

(ΒΟΥΣ ΚΑΙ ΦΡΥΝΟΣ.)

Γέννημα φρύνου συνεπάτησε βοῦς πίνων·
ἐλθοῦσα δ᾽ αὐτόσ᾽ (οὐ παρῆν γάρ) ἡ μήτηρ
παρὰ τῶν ἀδελφῶν ποῦ ποτ᾽ ἦν ἐπεζήτει.
„Τέθνηκε, μῆτερ· ἄρτι γὰρ πρὸ τῆς ὥρας
„ἦλθεν πάχιστον τετράπουν, ὑφ᾽ οὗ κεῖται
„χηλῇ μαλαχθείς.“ ἡ δὲ φρῦνος ἠρώτα,
φυσῶσ᾽ ἑαυτήν, εἰ τοιοῦτον ἦν ὄγκῳ
τὸ ζῷον. οἱ δὲ μητρί „Παῦε, μὴ πρίου·
„θᾶσσον σεαυτὴν“ εἶπον „ἐκ μέσου ῥήξεις,
„ἢ τὴν ἐκείνου πιότητα μιμήσῃ.“

Ὅτι ἐπικίνδυνον τοῖς ἐλάττοσι παρατείνεσθαι τοῖς μείζοσι.

29.

(ΙΠΠΟΣ ΓΕΡΩΝ.)

Γέρων ποθ' ἵππος εἰς ἀλητὸν ἐπράθη.
ζευχθεὶς δ' ὑπὸ μύλην ἤλεσ' ἑσπέρην πᾶσαν
καὶ δὴ στενάξας εἶπεν· „Ἐκ δρόμων οἵων
„καμπτῆρας οἵους ἀλφιτεῦσι γυρεύω!“
Μὴ λίην ἐπαίρου πρὸς τὸ τῆς ἀκμῆς γαῦρον·
πολλοῖς τὸ γῆρας εἰς πόνους ἀνηλώθη.

30.

(ΛΙΘΟΥΡΓΟΣ ΚΑΙ ΕΡΜΗΣ.)

Γλύψας ἐπώλει λύγδινόν τις Ἑρμείην.
τὸν δ' ἠγόραζον ἄνδρες, ὃς μὲν εἰς στήλην
(υἱὸς γὰρ αὐτῷ προσφάτως ἐτεθνήκει),
ὁ δὲ χειροτέχνης ὡς θεὸν καθιδρύσων.
ἦν δ' ὀψέ· χὠ λιθουργὸς οὐκ ἐπεπράκει,
συνθέμενος αὐτοῖς εἰς τὸν ὄρθρον αὖ δεῖξαι
ἐλθοῦσιν. ὁ δὲ λιθουργὸς εἶδεν ὑπνώσας
αὐτὸν τὸν Ἑρμῆν ἐν πύλαις ὀνειρείαις
εἶδεν λέγοντα· „Τἀμὰ νῦν ταλαντεύῃ·
„ἓν γάρ με νεκρὸν ἢ θεὸν σὺ ποιήσεις.“

31.

(ΓΑΛΑΙ ΚΑΙ ΜΥΕΣ.)

Γαλαῖ ποτ' εἶχον καὶ μύες πρὸς ἀλλήλους
ἄσπονδον αἰεὶ πόλεμον, αἱμάτων πλήρη·
γαλαῖ δ' ἐνίκων. οἱ μύες δὲ τῆς ἥττης
ἐδόκουν ὑπάρχειν αἰτίην σφίσιν ταύτην,
ὅτι στρατηγοὺς οὐκ ἔχοιεν ἐκδήλους,
ἀεὶ δ' ἀτάκτως ὑπομένουσι κινδύνους.
εἵλοντο τοίνυν τοὺς γένει τε καὶ ῥώμῃ
γνώμῃ τ' ἀρίστους εἰς μάχην τε γενναίους,
οἳ σφᾶς ἐκόσμουν καὶ διεῖλον εἰς ἴλας
λόχους τε καὶ φάλαγγας, ὡς ἐν ἀνθρώποις.
ἐπεὶ δ' ἐτάχθη πάντα καὶ συνηθροίσθη,
* * * * * *

καί τις γαλῆν μῦς προὐκαλεῖτο θαρσήσας,
οἵ τε στρατηγοὶ λεπτὰ πηλίνων τοίχων
κάρφη μετώποις ἁρμόσαντες ἀχρεῖα
ἡγοῦντο, παντὸς ἐκφανέστατοι πλήθους.
πάλιν δὲ φύζα τοὺς μύας κατειλήφει·
ἄλλοι μὲν οὖν σωθέντες ἦσαν ἐν τρώγλαις·
τοὺς δὲ στρατηγοὺς εἰςτρέχοντας οὐκ εἴα
τὰ περισσὰ κάρφη τῆς ὀπῆς ἔσω δύνειν,
μόνοι θ' ἑάλων αὐτόθι μυχῶν πρόσθεν.
νίκη δ' ἐπ' αὐτοῖς καὶ τρόπαιον εἱστήκει,
γαλῆς ἑκάστης μῦν στρατηγὸν ἑλκούσης.
λέγει δ' ὁ μῦθος· „Εἰς τὸ ζῆν ἀκινδύνως
„τῆς λαμπρότητος εὐτέλεια βελτίων."

32.

(ΓΑΛΗ ΚΑΙ ΑΦΡΟΔΙΤΗ.)

Γαλῇ ποτ' ἀνδρὸς εὐπρεποῦς ἐρασθείσῃ
δίδωσι σεμνὴ Κύπρις, ἡ Πόθων μήτηρ,
μορφὴν ἀμεῖψαι καὶ λαβεῖν γυναικείην,
καλῆς γυναικός, ἧς τίς οὐχ ἑκὼν ἤρα;
ἰδὼν δ' ἐκεῖνος (ἐν μέρει γὰρ ἡλώκει)
γαμεῖν ἔμελλεν. ἠρμένου δὲ τοῦ δείπνου
παρέδραμεν μῦς. ἡ δὲ τῆς βαθυστρώτου
καταβᾶσα κλίνης ἐπεδίωκεν ἡ νύμφη·
γάμος δὲ δαιτὶ δέδυτο. καὶ καλῶς παίξας
Ἔρως ἀπῆλθε· τῇ φύσει γὰρ ἡττήθη.

Πρὸς τοὺς τὴν φύσιν τῶν πραγμάτων ὁρᾶν ὡς ἔχει μὴ βουλομ
τῇ δὲ τούτων φαντασίᾳ πλανωμένους, ἔλεγχον ὁ μῦθος ἔχει.

ΑΡΧΗ ΤΟΥ Δ.

33.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΨΑΡΕΣ.)

Δυσμαὶ μὲν ἦσαν Πλειάδων, σπόρου δ' ὥρη·
καί τις γεωργὸς πυρὸν εἰς νειὸν ῥίψας
ἐφύλασσεν ἑστώς. καὶ γὰρ ἄκριτον πλήθει

μέλαν κολοιῶν ἔθνος ἦλθε δυσφώνων,
ψᾶρές τ᾽ ὄλεθρος σπερμάτων ἀρουραίων.
τῷ δ᾽ ἠκολούθει σφενδόνην ἔχων κοίλην
παιδίσκος, οἱ δὲ ψᾶρες ἐκ συνηθείης
ἤκουον εἰ τὴν σφενδόνην πότ᾽ ᾐτήκει,
καὶ πρὶν λαβεῖν ἔφευγον. εὗρε δὴ τέχνην
ὁ γεωργὸς ἄλλην· τόν τε παῖδα φωνήσας
ἐδίδασκεν· „Ὦ παῖ, χρὴ γὰρ ὀρνέων ἡμᾶς
„σοφὸν δολῶσαι φῦλον, ἡνίκ᾽ ἂν τοίνυν
„ἔλθωσιν, ἐγὼ μὲν“ εἶπεν „ἄρτον αἰτήσω·
„σὺ δ᾽ οὐ τὸν ἄρτον, σφενδόνην δέ μοι δώσεις.“
οἱ ψᾶρες ἦλθον κἀνέμοντο τὴν χώρην.
ὁ δ᾽ ἄρτον ᾔτει, καθάπερ εἶχε συνθήκην·
οἱ δ᾽ οὐκ ἔφευγον. τῷ δ᾽ ὁ παῖς λίθων πλήρη
τὴν σφενδόνην ἔδωκεν· ὁ δὲ γέρων ῥίψας
τοῦ μὲν τὸ βρέγμα, τοῦ δ᾽ ἔτυψε τὴν κνήμην,
ἑτέρου τὸν ὦμον. οἱ δ᾽ ἔφευγον ἐκ χώρης.
γέρανοι συνήντων καὶ τὸ συμβὰν ἠρώτων.
καί τις κολοιῶν εἶπε· „Φεύγετ᾽ ἀνθρώπων
„γένος πονηρόν, ἄλλα μὲν πρὸς ἀλλήλους
„λαλεῖν μαθόντων, ἄλλα δ᾽ ἔργα ποιούντων.“
Δεινὸν τὸ φῦλον τῶν δόλῳ τι πραττόντων.

34.

(ΠΑΙΣ ΕΣΘΙΩΝ ΣΠΛΑΓΧΝΑ.)

Δήμητρι ταῦρον ὄχλος ἀγρότης θύων
ἅλω πλατεῖαν οἰνάσιν κατεστρώκει,
* * * * * *
κρεῶν τραπέζας εἶχε καὶ πίθους οἴνου.
ἐκ τῶν δὲ παίδων ἐσθίων τις ἀπλήστως
ὑπὸ τῶν βοείων ἐγκάτων ἐφυσήθη
κἀπῆλθ᾽ ἐς οἴκους, γαστρὸς ὄγκον ἀλγήσας.
πεσὼν δ᾽ ἐφ᾽ ὑγραῖς μητρὸς ἀγκάλαις „Οἴμοι!
„τί ταῦτ᾽;“ ἐφώνει· „δυστυχὴς ἀποθνήσκω.
„τὰ σπλάγχνα γάρ, τεκοῦσα, πάντα μου πίπτει.“
ἡ δ᾽ εἶπε· „Θάρσει κἀπόβαλλε· μὴ φείδου·
„οὐ γὰρ σά, τέκνον, ἀλλ᾽ ἐμεῖς τὰ τοῦ ταύρου.“

Ὅταν ὀρφανοῦ τις οὐσίαν ἀναλώσας,
ἔπειτα ταύτην ἐκτίνων ἀποιμώζῃ,
πρὸς τοῦτον ἄν τις καταχρέοιτο τῷ μύθῳ.

35.

(ΠΙΘΗΚΟΙ.)

Δύω μὲν υἱοὺς ἡ πίθηκος ὠδίνει,
τεκοῦσα δ' αὐτοῖς ἐστιν οὐκ ἴση μήτηρ,
ἀλλ' ὃν μὲν αὐτῶν ἀθλίης ὑπ' εὐνοίης
θάλπουσα κόλποις ἀγρίοις ἀποπνίγει,
τὸν δ' ὡς περισσὸν καὶ μάταιον ἐκβάλλει·
κἀκεῖνος ἐλθὼν εἰς ἐρημίην ζώει.
Τοιοῦτο πολλῶν ἐστιν ἦθος ἀνθρώπων,
οἷς ἐχθρὸς αἰεὶ μᾶλλον ἢ φίλος γίγνου.

36.

(ΦΗΓΟΣ ΚΑΙ ΚΑΛΑΜΟΣ.)

Δρῦν αὐτόριζον ἄνεμος ἐξ ὄρους ἄρας
ἔδωκε ποταμῷ· τὴν δ' ἔσυρε κυμαίνων,
πελώριον φύτευμα τῶν πρὶν ἀνθρώπων.
πολὺς δὲ κάλαμος ἑκατέρωθεν εἱστήκει
ἐλαφρός, ὄχθης ποταμίας ὕδωρ πίνων.
θάμβος δὲ τὴν δρῦν εἶχε, πῶς ὁ μὲν λίην
λεπτός τ' ἐὼν κἀβληχρὸς οὐκ ἐπεπτώκει,
αὐτὴ δὲ τόσση φηγὸς ἐξεριζώθη.
σοφῶς δὲ κάλαμος εἶπε· „Μηδὲν ἐκπλήσσου·
„σὺ μὲν μαχομένη ταῖς πνοαῖς ἐνικήθης,
„ἡμεῖς δὲ καμπτόμεσθα μαλθακῇ γνώμῃ,
„κἂν βαιὸν ἡμῶν ἄνεμος ἄκρα κινήσῃ.“
κάλαμος μὲν οὕτως· ὁ δέ γε μῦθος ἐμφαίνει
μὴ δεῖν μάχεσθαι τοῖς κρατοῦσιν, ἀλλ' εἴκειν.

37.

(ΔΑΜΑΛΙΣ ΚΑΙ ΤΑΥΡΟΣ.)

Δαμάλης ἐν ἀγροῖς, ἄφετος, ἀτριβὴς ζεύγλης,
κάμνοντι καὶ σύροντι τὴν ὕνιν ταύρῳ

„Τάλας," ἐφώνει· „μόχθον οἷον ὀτλεύεις!"
ὁ βοῦς δ' ἐσίγα χὐπέτεμνε τὴν χώραν.
ἐπεὶ δ' ἔμελλον ἀγρόται θεοῖς θύειν,
ὁ βοῦς μὲν ὁ γέρων εἰς νομὰς ἀπεζεύχθη,
ὁ δὲ μόσχος ἀδμὴς κεῖνος εἵλκετο, σχοίνῳ
δεθεὶς κέρατα, βωμὸν αἵματος πλήσων.
κἀκεῖνος αὐτῷ τοιάδ' εἶπε φωνήσας·
„Εἰς ταῦτα μέντοι μὴ πονῶν ἐτηρήθης·
„ὁ νέος παρέρπεις τὸν γέροντα καὶ θύῃ,
„καί σου τένοντα πέλεκυς, οὐ ζυγὸς τρίψει."

Διδάσκει ἡμᾶς ὁ μῦθος, ὅτι ἡ καλὴ ἐπιστήμη ἐκ θανάτου ῥύεται.

38.

(*ΠΕΥΚΗ.*)

Δρυτόμοι τινὲς σχίσαντες ἀγρίην πεύκην
ἐνεῖραν αὐτῇ σφῆνας, ὡς διασταίη
γένοιτό τ' αὐτοῖς ὁ πόνος ὕστερον ῥάων.
πεύκη στένουσα „Πῶς ἂν" εἶπε „μεμφοίμην
„τὸν πέλεκυν, ὅς μου μὴ προσῆκε τῇ ῥίζῃ,
„ὡς τοὺς κακίστους σφῆνας, ὧν ἐγὼ μήτηρ;
„ἄλλος γὰρ ἄλλῃ μ' ἐμπεσὼν διαῤῥήσσει."
Ὁ μῦθος ἡμῖν τοῦτο πᾶσι μηνύει,
ὡς οὐδὲν οὕτω δεινὸν ἂν πρὸς ἀνθρώπων
πάθοις τι τῶν ἔξωθεν, ὡς ὑπ' οἰκείων.

39.

(*ΔΕΛΦΙΝΕΣ ΚΑΙ ΚΑΡΚΙΝΟΣ.*)

Δελφῖνες αἰεὶ διεφέροντο φαλαίναις·
τούτοις παρῆλθε καρκίνος μεσιτεύων·
ὡς εἴ τις ὢν ἄδοξος ἐν πολιτείαις
στάσιν τυράννων μαχομένων εἰρηνεύοι.
* * * * *

40.

(*ΚΑΜΗΛΟΣ.*)

Διέβαινε ποταμὸν ὀξὺν ὄντα τῷ ῥείθρῳ
κυρτὴ κάμηλος, εἶτ' ἔχεζε. τοῦ δ' ὄνθου

καί τις γαλῆν μῦς προὐκαλεῖτο θαρσήσας,
οἵ τε στρατηγοὶ λεπτὰ πηλίνων τοίχων
κάρφη μετώποις ἁρμόσαντες ἀχρεῖα
ἡγοῦντο, παντὸς ἐκφανέστατοι πλήθους.
πάλιν δὲ φύζα τοὺς μύας κατειλήφει·
ἄλλοι μὲν οὖν σωθέντες ἦσαν ἐν τρώγλαις·
τοὺς δὲ στρατηγοὺς εἰςτρέχοντας οὐκ εἶα
τὰ περισσὰ κάρφη τῆς ὀπῆς ἔσω δύνειν,
μόνοι θ' ἑάλων αὐτόθι μυχῶν πρόσθεν.
νίκη δ' ἐπ' αὐτοῖς καὶ τρόπαιον εἱστήκει,
γαλῆς ἑκάστης μῦν στρατηγὸν ἑλκούσης.
λέγει δ' ὁ μῦθος· „Εἰς τὸ ζῆν ἀκινδύνως
„τῆς λαμπρότητος εὐτέλεια βελτίων."

32.

(ΓΑΛΗ ΚΑΙ ΑΦΡΟΔΙΤΗ.)

Γαλῇ ποτ' ἀνδρὸς εὐπρεποῦς ἐρασθείσῃ
δίδωσι σεμνὴ Κύπρις, ἡ Πόθων μήτηρ,
μορφὴν ἀμεῖψαι καὶ λαβεῖν γυναικείην,
καλῆς γυναικός, ἧς τίς οὐχ ἑκὼν ἤρα;
ἰδὼν δ' ἐκεῖνος (ἐν μέρει γὰρ ἡλώκει)
γαμεῖν ἔμελλεν. ἠρμένου δὲ τοῦ δείπνου
παρέδραμεν μῦς. ἡ δὲ τῆς βαθυστρώτου
καταβᾶσα κλίνης ἐπεδίωκεν ἡ νύμφη·
γάμος δὲ δαιτὶ δέδυτο. καὶ καλῶς παίξας
Ἔρως ἀπῆλθε· τῇ φύσει γὰρ ἡττήθη.

Πρὸς τοὺς τὴν φύσιν τῶν πραγμάτων ὁρᾶν ὡς ἔχει μὴ βουλομένο τῇ δὲ τούτων φαντασίᾳ πλανωμένους, ἔλεγχον ὁ μῦθος ἔχει.

ΑΡΧΗ ΤΟΥ Δ.

33.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΨΑΡΕΣ.)

Δυσμαὶ μὲν ἦσαν Πλειάδων, σπόρου δ' ὥρη·
καί τις γεωργὸς πυρὸν εἰς νειὸν ῥίψας
ἐφύλασσεν ἑστώς. καὶ γὰρ ἄκριτον πλήθει

μέλαν κολοιῶν ἔθνος ἦλθε δυσφώνων,
ψᾶρές τ' ὄλεθρος σπερμάτων ἀρουραίων.
τῷ δ' ἠκολούθει σφενδόνην ἔχων κοίλην
παιδίσκος, οἱ δὲ ψᾶρες ἐκ συνηθείης
ἤκουον εἰ τὴν σφενδόνην πότ' ᾔτηκει,
καὶ πρὶν λαβεῖν ἔφευγον. εὗρε δὴ τέχνην
ὁ γεωργὸς ἄλλην· τόν τε παῖδα φωνήσας
ἐδίδασκεν· „Ὦ παῖ, χρὴ γὰρ ὀρνέων ἡμᾶς
„σοφὸν δολῶσαι φῦλον, ἡνίκ' ἂν τοίνυν
„ἔλθωσιν, ἐγὼ μὲν“ εἶπεν „ἄρτον αἰτήσω·
„σὺ δ' οὐ τὸν ἄρτον, σφενδόνην δέ μοι δώσεις.“
οἱ ψᾶρες ἦλθον κἀνέμοντο τὴν χώρην.
ὁ δ' ἄρτον ᾔτει, καθάπερ εἶχε σύνθήκην·
οἱ δ' οὐκ ἔφευγον. τῷ δ' ὁ παῖς λίθων πλήρη
τὴν σφενδόνην ἔδωκεν· ὁ δὲ γέρων ῥίψας
τοῦ μὲν τὸ βρέγμα, τοῦ δ' ἔτυψε τὴν κνήμην,
ἑτέρου τὸν ὦμον. οἱ δ' ἔφευγον ἐκ χώρης.
γέρανοι συνήντων καὶ τὸ συμβὰν ἠρώτων.
καί τις κολοιῶν εἶπε· „Φεύγετ' ἀνθρώπων
„γένος πονηρόν, ἄλλα μὲν πρὸς ἀλλήλους
„λαλεῖν μαθόντων, ἄλλα δ' ἔργα ποιούντων.“
Δεινὸν τὸ φῦλον τῶν δόλῳ τι πραττόντων.

34.

(ΠΑΙΣ ΕΣΘΙΩΝ ΣΠΛΑΓΧΝΑ.)

Δήμητρι ταῦρον ὄχλος ἀγρότης θύων
ἅλω πλατεῖαν οἰνάσιν κατεστρώκει,
* * * * * *
κρεῶν τραπέζας εἶχε καὶ πίθους οἴνου.
ἐκ τῶν δὲ παίδων ἐσθίων τις ἀπλήστως
ὑπὸ τῶν βοείων ἐγκάτων ἐφυσήθη
κἀπῆλθ' ἐς οἴκους, γαστρὸς ὄγκον ἀλγήσας.
πεσὼν δ' ἐφ' ὑγραῖς μητρὸς ἀγκάλαις „Οἴμοι!
„τί ταῦτ';“ ἐφώνει· „δυστυχὴς ἀποθνήσκω.
„τὰ σπλάγχνα γάρ, τεκοῦσα, πάντα μου πίπτει.“
ἡ δ' εἶπε· „Θάρσει κἀπόβαλλε· μὴ φείδου·
„οὐ γὰρ σά, τέκνον, ἀλλ' ἐμεῖς τὰ τοῦ ταύρου.“

Ὅταν ὀρφανοῦ τις οὐσίαν ἀναλώσας,
ἔπειτα ταύτην ἐκτίνων ἀποιμώζῃ,
πρὸς τοῦτον ἄν τις καταχρέοιτο τῷ μύθῳ.

35.

(ΠΙΘΗΚΟΙ.)

Δύω μὲν υἱοὺς ἡ πίθηκος ὠδίνει,
τεκοῦσα δ' αὐτοῖς ἐστιν οὐκ ἴση μήτηρ,
ἀλλ' ὃν μὲν αὐτῶν ἀθλίης ὑπ' εὐνοίης
θάλπουσα κόλποις ἀγρίοις ἀποπνίγει,
τὸν δ' ὡς περισσὸν καὶ μάταιον ἐκβάλλει·
κἀκεῖνος ἐλθὼν εἰς ἐρημίην ζώει.
Τοιοῦτο πολλῶν ἐστιν ἦθος ἀνθρώπων,
οἷς ἐχθρὸς αἰεὶ μᾶλλον ἢ φίλος γίγνου.

36.

(ΦΗΓΟΣ ΚΑΙ ΚΑΛΑΜΟΣ.)

Δρῦν αὐτόριζον ἄνεμος ἐξ ὄρους ἄρας
ἔδωκε ποταμῷ· τὴν δ' ἔσυρε κυμαίνων,
πελώριον φύτευμα τῶν πρὶν ἀνθρώπων.
πολὺς δὲ κάλαμος ἑκατέρωθεν εἱστήκει
ἐλαφρός, ὄχθης ποταμίας ὕδωρ πίνων.
θάμβος δὲ τὴν δρῦν εἶχε, πῶς ὁ μὲν λίην
λεπτός τ' ἐὼν κἀβληχρὸς οὐκ ἐπεπτώκει,
αὐτὴ δὲ τόσση φηγὸς ἐξεριζώθη.
σοφῶς δὲ κάλαμος εἶπε· „Μηδὲν ἐκπλήσσου·
„σὺ μὲν μαχομένη ταῖς πνοαῖς ἐνικήθης,
„ἡμεῖς δὲ καμπτόμεσθα μαλθακῇ γνώμῃ,
„κἂν βαιὸν ἡμῶν ἄνεμος ἄκρα κινήσῃ."
κάλαμος μὲν οὕτως· ὁ δέ γε μῦθος ἐμφαίνει
μὴ δεῖν μάχεσθαι τοῖς κρατοῦσιν, ἀλλ' εἴκειν.

37.

(ΔΑΜΑΛΙΣ ΚΑΙ ΤΑΥΡΟΣ.)

Δαμάλης ἐν ἀγροῖς, ἄφετος, ἀτριβὴς ζεύγλης,
κάμνοντι καὶ σύροντι τὴν ὕνιν ταύρῳ

„Τάλας," ἐφώνει· „μόχθον οἷον ὀτλεύεις!"
ὁ βοῦς δ' ἐσίγα χὐπέτεμνε τὴν χώραν.
ἐπεὶ δ' ἔμελλον ἀγρόται θεοῖς θύειν,
ὁ βοῦς μὲν ὁ γέρων εἰς νομὰς ἀπεζεύχθη,
ὁ δὲ μόσχος ἀδμὴς κεῖνος εἵλκετο, σχοίνῳ
δεθεὶς κέρατα, βωμὸν αἵματος πλήσων.
κἀκεῖνος αὐτῷ τοιάδ' εἶπε φωνήσας·
„Εἰς ταῦτα μέντοι μὴ πονῶν ἐτηρήθης·
„ὁ νέος παρέρπεις τὸν γέροντα καὶ θύῃ,
„καί σου τένοντα πέλεκυς, οὐ ζυγὸς τρίψει."

Διδάσκει ἡμᾶς ὁ μῦθος, ὅτι ἡ καλὴ ἐπιστήμη ἐκ θανάτου ῥύεται.

38.

(*ΠΕΥΚΗ.*)

Δρυτόμοι τινὲς σχίσαντες ἀγρίην πεύκην
ἐνεῖραν αὐτῇ σφῆνας, ὡς διασταίη
γένοιτό τ' αὐτοῖς ὁ πόνος ὕστερον ῥάων.
πεύκη στένουσά „Πῶς ἂν" εἶπε „μεμφοίμην
„τὸν πέλεκυν, ὅς μου μὴ προσῆκε τῇ ῥίζῃ,
„ὡς τοὺς κακίστους σφῆνας, ὧν ἐγὼ μήτηρ;
„ἄλλος γὰρ ἄλλῃ μ' ἐμπεσὼν διαῤῥήσσει."
Ὁ μῦθος ἡμῖν τοῦτο πᾶσι μηνύει,
ὡς οὐδὲν οὕτω δεινὸν ἂν πρὸς ἀνθρώπων
πάθοις τι τῶν ἔξωθεν, ὡς ὑπ' οἰκείων.

39.

(*ΔΕΛΦΙΝΕΣ ΚΑΙ ΚΑΡΚΙΝΟΣ.*)

Δελφῖνες αἰεὶ διεφέροντο φαλαίναις·
τούτοις παρῆλθε καρκίνος μεσιτεύων·
ὡς εἴ τις ὢν ἄδοξος ἐν πολιτείαις
στάσιν τυράννων μαχομένων εἰρηνεύοι.
* * * * *

40.

(*ΚΑΜΗΛΟΣ.*)

Διέβαινε ποταμὸν ὀξὺν ὄντα τῷ ῥείθρῳ
κυρτὴ κάμηλος, εἶτ' ἔχεζε. τοῦ δ' ὄνθου

φθάνοντος αὐτὴν εἶπεν· „Ἦ κακῶς πράττω·
„ἔμπροσθεν ἤδη τἀξόπισθέ μου βαίνει."
Πόλις ἂν τις εἴποι τὸν λόγον τὸν Αἰσώπου,
ἧς ἔσχατοι κρατοῦσιν ἀντὶ τῶν πρώτων.

41.

(ΣΑΥΡΑ.)

Διαῤῥαγῆναί φασιν ἐκ μέσου νώτου
δράκοντι μῆκος ἐξισουμένην σαύραν.
Βλάψεις σεαυτὸν κοὐδὲν ἄλλο ποιήσεις,
ἂν τόν γε λίαν ὑπερέχοντα μιμήσῃ.

42.

(ΚΥΩΝ ΚΑΙ ΜΑΓΕΙΡΟΣ.)

Δεῖπνόν τις εἶχεν ἐν πόλει λαμπρὸν θύσας.
ὁ κύων δὲ τούτου κυνὶ φίλῳ συναντήσας
ἐλθεῖν πρὸς αὐτὸν ἐπὶ τὸ δεῖπνον ἠρώτα·
κἀκεῖνος ἦλθε. τὸν δὲ τοῦ σκέλους ἄρας
ὁ μάγειρος ἐκτὸς ἐξέριψε τοῦ τοίχου
ἐς τὴν ἀγυιάν. τῶν κυνῶν δ' ἐρωτώντων,
ὅπως ἐδείπνησ', εἶπε· „Πῶς γὰρ ἂν κρεῖττον,
„ὅς οὐδὲ ποίαν ἀναλύειν με γινώσκω;"

Ὅτι τοῖς μὴ λόγῳ τοῖς πράγμασιν ἐγχειροῦσιν ἕπεται πολλάκις κακῶς ἐν αὐτοῖς πάσχειν.

ΑΡΧΗ ΤΟΥ Ε.

43.

(ΕΛΑΦΟΣ ΚΑΙ ΚΥΝΗΓΕΤΑΙ.)

Ἔλαφος κεράστης ὑπὸ τὸ καῦμα διψήσας
λίμνης ὕδωρ ἔπινεν ἡσυχαζούσης·
ἐκεῖ δ' ἑαυτοῦ τὴν σκιὴν θεωρήσας
χηλῆς μὲν ἕνεκα καὶ ποδῶν ἐλυπήθη,
ἐπὶ τοῖς κέρασι δ' ὡς καλοῖς ἄγαν ηὔχει.
παρῆν δὲ Νέμεσις, ἣ τὰ γαῦρα πημαίνει.

κυνηγέτας γὰρ ἄνδρας εἶδεν ἐξαίφνης
ὁμοῦ σαγήναις καὶ σκύλαξιν εὐρίνοις·
ἰδὼν δ' ἔφευγε, δίψαν οὐδέπω παύσας,
καὶ μακρὸν ἐπέρα πεδίον ἴχνεσιν κούφοις.
ἐπεὶ δὲ δὴ σύνδενδρον ἦλθεν εἰς ὕλην,
κέρατα θάμνοις ἐμπλακεὶς ἐθηρεύθη.
καὶ ταῦτ' ἔφη· „Δύστηνος, ὡς διεψεύσθην·
„οἱ γὰρ πόδες μ' ἔσωζον, οἷς ἐπῃδούμην·
„τὰ κέρατα δὲ προὔδωκεν, οἷς ἐγαυρούμην."
Περὶ τῶν σεαυτοῦ πραγμάτων ὅταν κρίνῃς,
μηδὲν βέβαιον ὑπολάβῃς προγινώσκων,
μηδ' αὖτ' ἀπογνῷς μηδ' ἀπελπίσῃς· οὕτω
σφάλλουσιν ἡμᾶς ἐνίοθ' αἱ πεποιθήσεις.

44.

(ΤΑΥΡΟΙ ΚΑΙ ΛΕΩΝ.)

Ἐνέμοντο ταῦροι τρεῖς ἀεὶ μετ' ἀλλήλων.
λέων δὲ τούτους συλλαβεῖν ἐφεδρεύων
ὁμοῦ μὲν αὐτοὺς οὐκ ἔδοξε νικήσειν,
λόγοις δ' ὑπούλοις διαβολαῖς τε συγκρούων
ἐχθροὺς ἐποίει, χωρίσας δ' ἀπ' ἀλλήλων
ἕκαστον αὐτῶν ἔσχε ῥαδίαν θοίνην.
Ὅταν μάλιστα ζῆν θέλῃς ἀκινδύνως,
ἐχθροῖς ἀπίστει, τοὺς φίλους δ' ἀεὶ τήρει.

45.

(ΑΙΠΟΛΟΣ ΚΑΙ ΑΙΓΕΣ.)

Ενειφεν ὁ Ζεύς· αἰπόλος δέ τις φεύγων
εἰς ἄντρον εἰσήλαυνε τῶν ἀοικήτων
τὰς αἶγας ἄκρῃ χιόνι λευκανθιζούσας.
εὑρὼν δ' ἐκεῖ τάχιον εἰσδεδυκυίας
αἶγας κερούχους ἀγρίας, πολὺ πλείους
ὧν αὐτὸς ἦγε, μείζονάς τε καὶ κρείσσους,
ταῖς μὲν φέρων ἔβαλλε θαλλὸν ἐξ ὕλης,
τὰς δ' αὖτ' ἰδίας ἀφῆκε μακρὰ λιμώττειν.
ὡς δ' ᾐθρίασε, τὰς μὲν εὗρε τεθνώσας·

αἱ δ' οὐκ ἔμειναν, ἀλλ' ὀρῶν ἀβοσκήτων
ἀνέμβατον δρυμῶνα ποσσὶν ἠρεύνων.
ὁ δ' αἰπόλος γελάσας ἦλθεν εἰς οἴκους
αἰγῶν ἔρημος· ἐλπίσας δὲ τὰς κρείσσους
οὐκ ὤνατ' οὐδ' ὧν αὐτὸς εἶχεν ἐκ πρώτης.

Ὁ μῦθος ἡμᾶς ἐκδιδάσκει μηδαμῶς τῶν οἰκείων ἀμελεῖν, μάλιστ κέρδους ἕνεκα ἀμφιβόλου ὑπάρχοντος.

46.

(ΕΛΑΦΟΣ ΝΟΣΩΝ.)

Ἔλαφος καθ' ὕλην γυῖα κοῦφα ναρκήσας
ἔκειτο πεδίων ἐν χλόῃ βαθυσχοίνῳ,
ἐξ ἧς ἕτοιμον χιλὸν εἶχε πεινήσας.
ἤρχοντο δ' ἀγέλαι ποικίλων ἐκεῖ ζῴων
ἐπισκοπούντων· ἦν γὰρ ἀβλαβὴς γείτων.
ἐλθὼν δ' ἕκαστος, τῆς πόας ἀποτρώγων,
ᾔει πρὸς ὕλας· ὁ δέ γε πρὸς πείνης θνήσκει,
[ἔλαφος δὲ λιμῷ, κοὐ νόσῳ, κατεσκλήκει.]
μή πω κορώνην δευτέραν ἀναπλήσας,
ὅς, εἰ φίλους οὐκ ἔσχε, κἂν γεγηράκει.

Ὁ μῦθος τοῦτο λέγει· δεῖν τὰ ὁπωσοῦν ἐπιόντα δεινὰ λόγοις ἐξευμαρίζειν ἠπίοις, καὶ τὸ τούτων ὀχληρὸν ἀποπαύειν.

47.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΥΙΟΙ.)

Ἐν τοῖς παλαιοῖς ἦν ἀνὴρ ὑπεργήρως,
εἶχεν δὲ πολλοὺς παῖδας· οἷς ἐπισκήπτων
(ἔμελλε γὰρ δὴ τὸν βίον τελευτήσειν)
ἐκέλευε λεπτῶν, εἴ τίς ἐστί που, ῥάβδων
δέσμην ἐνεγκεῖν. ἧκέ τις φέρων ταύτην.
„Πειρᾶσθε δή μοι, τέκνα, σὺν βίῃ πάσῃ
„ῥάβδους κατᾶξαι δεδεμένας σὺν ἀλλήλαις."
οἱ δ' οὐ γὰρ ἠδύναντο. „Κατὰ μίαν τοίνυν
„πειρᾶσθ'". ἑκάστης δ' εὐχερῶς καταγείσης
„Ὦ παῖδες," οὕτως" εἶπεν, „ἂν μὲν ἀλλήλοις
„ὁμοφρονῆτε πάντες, οὐδ' ἂν εἷς ὕμας

ἐντεῦθεν Ἄραβές εἰσιν, ὡς ἐπειράθην,
ψεῦσταί τε καὶ γόητες, ὧν ἐπὶ γλώσσης
οὐδὲν κάθηται ῥῆμα τῆς ἀληθείας.

ΑΡΧΗ ΤΟΥ Ζ.

58.

(ΔΙΟΣ ΠΙΘΟΣ.)

Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας
ἔθηκεν αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ.
ὁ δ' ἀκρατὴς ἄνθρωπος εἰδέναι σπεύδων,
τί ποτ' ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας
διῆκ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους
κἀκεῖ πέτεσθαι τῆς τε γῆς ἄνω φεύγειν.
μόνη δ' ἔμεινεν Ἐλπίς, ἣν κατειλήφει
τεθὲν τὸ πῶμα. τοιγὰρ Ἐλπὶς ἀνθρώποις
μόνη σύνεστι, τῶν πεφευγότων ἡμᾶς
ἀγαθῶν ἕκαστον ἐγγυωμένη δώσειν.

59.

(ΖΕΥΣ, ΠΟΣΕΙΔΩΝ, ΑΘΗΝΑ ΚΑΙ ΜΩΜΟΣ.)

Ζεὺς καὶ Ποσειδῶν, φασί, καὶ τρίτη τούτοις
ἤριζ' Ἀθηνᾶ, τίς καλόν τι ποιήσει.
ποιεῖ μὲν ὁ Ζεὺς ἐκπρεπέστατον ζῷον
ἄνθρωπον, ἡ δὲ Παλλὰς οἶκον ἀνθρώποις,
ὁ δ' αὖ Ποσειδῶν ταῦρον. ᾑρέθη τούτοις
κριτὴς ὁ Μῶμος· ἔτι γὰρ ἐν θεοῖς ᾤκει.
κἀκεῖνος, ὡς πέφυκε, πάντας ἐχθραίνων,
πρῶτον μὲν εὐθὺς ἔψεγεν τὸ τοῦ ταύρου,
τῶν ὀμμάτων τὰ κέρατα μὴ κάτω κεῖσθαι,
ὡς ἂν βλέπων ἔτυπτε. τοῦ δέ γ' ἀνθρώπου,
μὴ σχεῖν θυρωτὰ μηδ' ἀνοικτὰ τὰ στήθη,
ὡς ἂν βλέποι τις τὸν πέλας, τί βουλεύοι·
τῆς οἰκίας δέ, μὴ τροχοὺς σιδηρείους
ἐν τοῖς θεμελίοις γεγονέναι, τόπους ἄλλους

δρυτόμον δ' ἰδοῦσα „Πρὸς θεῶν σε σωτήρων,
„κρύψον με ταύταις, αἷς ἔκοψας, αἰγείροις
„καὶ τῷ κυνηγῷ" φησί „μή με μηνύσῃς."
ὁ δ' οὐ προδώσειν ὤμνυ', ἡ δ' ἀπεκρύφθη.
ἦλθεν κυνηγὸς καὶ τὸν ἄνδρ' ἐπηρώτα,
μὴ τῇδ' ἀλώπηξ καταδέδυκεν ἢ φεύγει.
„Οὐκ εἶδον," εἶπε· τῷ δὲ δακτύλῳ νεύων
τὸν τόπον ἐδείκνυ' οὗ πανοῦργος ἐκρύφθη·
ὁ δ' οὐκ ἐπισχών, τῷ λόγῳ δὲ πιστεύσας,
παρῆλθε. θερμοῦ δ' ἐκφυγοῦσα κινδύνου
κερδὼ παχείας ἐξέκυπτεν αἰγείρου,
σεσηρὸς αἰκάλλουσα. τῇ δ' ὁ πρεσβύτης
„Ζωαγρίους μοι χάριτας" εἶπεν „ὀφλήσεις.
[„ἐῤῥυσάμην σε" φησίν, „ἀλλά μου μνήσκου."
„Πῶς οὐκ ἄν," εἶπεν, „ὧν γε μάρτυς εἱστήκειν;]
„ἔῤῥωσο τοίνυν, καὶ τὸν Ὅρκον οὐ φεύξῃ
„φωνῇ με σώσας, δακτύλῳ δ' ἀποκτείνας."
Σοφὸν τὸ θεῖον κἀπλάνητον· οὐδ' ἄν τις
λαθεῖν ἐπιορκῶν προσδοκᾷ, δίκην φεύγει.

Εὐκαίρως ὁ μῦθος ῥηθήσεται πρὸς ἐκείνους, τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους, δόλια δὲ καὶ φαῦλα ἐργαζομένους.

51.

(ΧΗΡΑ ΚΑΙ ΠΡΟΒΑΤΟΝ.)

Ἐν τῷ ποτ' οἴκῳ πρόβατον εἶχέ τις χήρα.
θέλουσα δ' αὐτοῦ τὸν πόκον λαβεῖν μείζω,
ἔκειρεν ἀτέχνως τῆς τε σαρκὸς οὐ πόῤῥω
τὸν μαλλὸν ἐψάλιζεν, ὥστε τιτρώσκειν.
ἀλγοῦν δὲ πρόβατον εἶπε· „Μή με λυμαίνου·
„πόσην γὰρ ὁλκὴν τοὐμὸν αἷμα προσθήσει;
„ἀλλ' εἰ κρεῶν, δέσποινα, τῶν ἐμῶν χρῄζεις,
„ἔστιν μάγειρος, ὅς με συντόμως θύσει·
„εἰ δ' εἰρίων πόκου σὺ κοὐ κρεῶν χρῄζεις,
„πάλιν ἔστι κουρεύς, ὃς κερεῖ με καὶ σώσει."

Πρὸς τοὺς μετὰ ἀπειρίας τοῖς πράγμασιν ἐγχειροῦντας, ἐξ ἧς οὐ τοσοῦτον τὸ κέρδος, ὅση βλάβη προσγίνεται.

τένοντα σείων· „Ἵππος ἐστί μοι μήτηρ,
„ἐγὼ δ' ἐκείνης οὐδὲν ἐν δρόμοις ἥττων.“
ἄφνω δ' ἔπαυσε τὸν δρόμον κατηφήσας·
ὄνου γὰρ εὐθὺς πατρὸς ὢν ἀνεμνήσθη.

Ὁ μῦθος διδάσκει ἡμᾶς μὴ μέγα φρονεῖν ἐν ταῖς εὐημερίαις, μάλ[illegible] ὺς ἐξ ἀγενῶν προγόνων κατὰ τύχην δοξασθέντας.

63.

(ΗΡΩΣ.)

Ἦν τις κατ' οἴκους ἀνδρὸς εὐσεβοῦς ἥρως
ἔχων ἐν αὐλῇ τέμενος. ἔνθα δὴ θύων
στέφων τε βωμοὺς καὶ καταβρέχων οἴνῳ
προσηύχετ' αἰεί· „Χαῖρε, φίλταθ' ἡρώων,
„καὶ τὸν σύνοικον ἀγαθὰ δαψιλῆ ποίει.“
κἀκεῖνος αὐτῷ νυκτὸς ἐν μέσαις ὥραις
„Ἀγαθὸν μὲν“ εἶπεν „οὐδὲν ἄν τις ἡρώων
„ὦ τὰν παράσχοι· ταῦτα τοὺς θεοὺς αἴτει·
„κακῶν δὲ πάντων, ἃ ξύνεστιν ἀνθρώποις,
„δοτῆρες ἡμεῖς· τοιγὰρ εἰ κακῶν χρῄζεις,
„εὔχου· παρέξω πολλά, κἂν ἓν αἰτήσῃς.
[„πρὸς ταῦτα λοιπὸν αὐτὸς οἶδας ἂν θύσῃς.“]

Ὅτι τοὺς πονηροὺς οὐ δεῖ αἰτεῖν ἀγαθά· οὐ γὰρ παρέξουσιν· εἰ δέ τις αἰτεῖται, ἑτοίμως μᾶλλον παρέχουσι.

64.

(ΕΛΑΤΗ ΚΑΙ ΒΑΤΟΣ.)

Ἤριζον ἐλάτη καὶ βάτος πρὸς ἀλλήλας.
ἐλάτης δ' ἑαυτὴν πολλαχῶς ἐπαινούσης
„Καλή μέν εἰμι καὶ τὸ μέτρον εὐμήκης,
„καὶ τῶν νεφῶν σύνοικος ὀρθίη φύω·
„στέγη τε μελάθρων εἰμὶ καὶ τρόπις πλοίων.
„δένδρων τοσούτων ἐκπρεπεστάτη πάντων.“
βάτος πρὸς αὐτὴν εἶπεν· „Ἢν λάβῃς μνήμην
„τῶν πελέκεών γε τῶν ἀεί σε κοπτόντων
[„καὶ τῶν πελύκων τῶν ἀεί σε τεμνόντων,]
„βάτος γενέσθαι καὶ σὺ μᾶλλον αἱρήσῃ.“

55.

(ΒΟΥΣ ΚΑΙ ΟΝΟΣ.)

Ἕνα βοῦν τις εἶχε· τὴν ὄνον δὲ συζεύξας
ἠροτρία, πτωχῶς μέν, ἀλλ᾽ ἀναγκαίως.
ἐπεὶ δὲ τοὔργον ἐτετέλεστο καὶ λύειν
ἔμελλεν αὐτούς, ἥ τ᾽ ὄνος διηρώτα
τὸν βοῦν· „Τίς ἄξει τῷ γέροντι τὰ σκεύη;"
ὁ δὲ βοῦς πρὸς αὐτὴν εἶπεν· „Ὅσπερ εἰώθει."

56.

(ΖΕΥΣ ΚΑΙ ΠΙΘΗΚΟΣ.)

Εὐτεκνίης ἔπαθλα πᾶσι τοῖς ζῴοις
ὁ Ζεὺς ἔθηκε· πάντα δ᾽ ἔβλεπε κρίνων.
ἦλθεν δὲ καὶ πίθηκος ὡς καλὴ μήτηρ,
πίθωνα σιμὸν γυμνὸν ἠρμένη κόλποις.
γέλως δ᾽ ἐπ᾽ αὐτῷ τοῖς θεοῖς ἐκινήθη.
ἡ δ᾽ εἶπεν οὕτω· „Ζεὺς μὲν οἶδε τὴν νίκην·
„ἐμοὶ δὲ πάντων οὗτός ἐστι καλλίων."
Ὁ λόγος δοκεῖ μοι πᾶσι τοῦτο σημαίνειν·
τὸν αὐτὸς αὑτοῦ πᾶς τις εὐπρεπῆ κρίνει.

57.

(ΕΡΜΟΥ ΑΜΑΞΑ ΚΑΙ ΑΡΑΒΕΣ.)

Ἑρμῆς, ἅμαξαν ψευσμάτων τε πληρώσας
ἀπάτης τε πολλῆς καὶ πανουργίας πάσης,
ἤλαυνε διὰ γῆς, ἄλλο φῦλον ἐξ ἄλλου
σχέδην ἀμείβων καὶ μέρος τι τῶν ῥώπων
νέμων ἑκάστῳ μικρόν. ὡς δὲ τῷ χώρῳ
τῷ τῶν Ἀράβων ἐπῆλθε καὶ διεξῄει,
λέγουσιν αὐτοῦ συντριβεῖσαν ἐξαίφνης
ἐπισταθῆναι τὴν ἅμαξαν. οἱ δ᾽, ὥσπερ
πολύτιμον ἁρπάζοντες ἐμπόρου φόρτον,
ἐκένωσαν αὐτὴν οὐδ᾽ ἀφῆκαν εἰς ἄλλους
ἔτι προσελθεῖν, καίπερ ὄντας ἀνθρώπους.

ἐντεῦθεν Ἄραβές εἰσιν, ὡς ἐπειράθην,
ψεῦσταί τε καὶ γόητες, ὧν ἐπὶ γλώσσης
οὐδὲν κάθηται ῥῆμα τῆς ἀληθείας.

ΑΡΧΗ ΤΟΥ Ζ.

58.

(ΔΙΟΣ ΠΙΘΟΣ.)

Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας
ἔθηκεν· αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ.
ὁ δ' ἀκρατὴς ἄνθρωπος εἰδέναι σπεύδων,
τί ποτ' ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας
διῆχ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους
κἀκεῖ πέτεσθαι τῆς τε γῆς ἄνω φεύγειν.
μόνη δ' ἔμεινεν Ἐλπίς, ἣν κατειλήφει
τεθὲν τὸ πῶμα. τοιγὰρ Ἐλπὶς ἀνθρώποις
μόνη σύνεστι, τῶν πεφευγότων ἥμας
ἀγαθῶν ἕκαστον ἐγγυωμένη δώσειν.

59.

(ΖΕΥΣ, ΠΟΣΕΙΔΩΝ, ΑΘΗΝΑ ΚΑΙ ΜΩΜΟΣ.)

Ζεὺς καὶ Ποσειδῶν, φασί, καὶ τρίτη τούτοις
ἤριζ' Ἀθηνᾶ, τίς καλόν τι ποιήσει.
ποιεῖ μὲν ὁ Ζεὺς ἐκπρεπέστατον ζῷον
ἄνθρωπον, ἡ δὲ Παλλὰς οἶκον ἀνθρώποις,
ὁ δ' αὖ Ποσειδῶν ταῦρον. ᾑρέθη τούτοις
κριτὴς ὁ Μῶμος· ἔτι γὰρ ἐν θεοῖς ᾤκει.
κἀκεῖνος, ὡς πέφυκε, πάντας ἐχθραίνων,
πρῶτον μὲν εὐθὺς ἔψεγεν τὸ τοῦ ταύρου,
τῶν ὀμμάτων τὰ κέρατα μὴ κάτω κεῖσθαι,
ὡς ἂν βλέπων ἔτυπτε. τοῦ δέ γ' ἀνθρώπου,
μὴ σχεῖν θυρωτὰ μηδ' ἀνοικτὰ τὰ στήθη,
ὡς ἂν βλέποι τις τὸν πέλας, τί βουλεύοι·
τῆς οἰκίας δέ, μὴ τροχοὺς σιδηρείους
ἐν τοῖς θεμελίοις γεγονέναι, τόπους ἄλλους

Ἅπας ὁ λαμπρὸς τῶν ἐλαττόνων μᾶλλον
καὶ δόξαν ἔσχε χὐπέμεινε κινδύνους.

Ὁ μῦθος πρὸς τοὺς κοσμικαῖς ἀρχαῖς μεγαλοφρονοῦντας καὶ διὰ τοῦτο τῶν πέλας κατεπαιρομένους, οἳ μετὰ αὐταρκείας βιοῦντες κἀντεῦθεν τῶν ἄλλων ἐκφεύγουσι κινδύνων.

65.

(*ΓΕΡΑΝΟΣ ΚΑΙ ΤΑΩΣ.*)

Ἤριζε τεφρὴ γέρανος εὐφυεῖ ταῷ
σείοντι χρυσᾶς πτέρυγας. „Ἀλλ᾽ ἐγὼ ταύταις"
ἡ γέρανος εἶπεν, „ὧν σὺ τὴν χρόην σκώπτεις,
„ἄστρων σύνεγγυς ἵπταμαί τε καὶ κράζω.
„σὺ δ᾽ ὡς ἀλέκτωρ ταῖσδε ταῖς καταχρύσοις
„χαμαὶ πτερύσσῃ" φησίν, „οὐδ᾽ ἄνω φαίνῃ."
Θαυμαστὸς εἶναι σὺν τρίβωνι βουλοίμην,
ἢ ζῆν ἀδόξως πλουσίᾳ σὺν ἐσθῆτι.

ΑΡΧΗ ΤΟΥ Θ.

66.

(*ΑΝΘΡΩΠΟΣ ΣΥΝ ΔΥΣΙ ΠΗΡΑΙΣ.*)

Θεῶν Προμηθεὺς ἦν τις, ἀλλὰ τῶν πρώτων.
τοῦτον πλάσασθαί φασι δεσπότην ζῴων
ἄνθρωπον ἐκ γῆς. ἐκ δὲ τοῦ δύω πήρας
κρεμάσαι φέροντά φασι τῶν ἐν ἀνθρώποις
κακῶν γεμούσας, τὴν πρόσω μὲν ὀθνείων,
ἰδίων δ᾽ ὄπισθεν, ἥτις ἦν πολλῷ μείζων.
διό μοι δοκοῦσι συμφορὰς μὲν ἀλλήλων
βλέπειν ἀκριβῶς, ἀγνοεῖν δὲ τὰς οἴκοι.

67.

(*ΟΝΑΓΡΟΣ ΚΑΙ ΛΕΩΝ.*)

Θήρης ὄναγρος καὶ λέων ἐκοινώνουν,
ἀλκῇ μὲν ὁ λέων, ὁ δ᾽ ὄνος ἦν ποσὶ κρείσσων.
ἐπεὶ δὲ λείαν εἶχον ἄφθονον ζῴων,

ἔσειε ταρσούς, ἐκτένιζε τὰς χαίτας.
ἦλθεν δ' ἐκείνην καὶ κολοιὸς εἰς κρήνην,
γέρων κορώνης υἱός· ἄλλο δ' ἐξ ἄλλου
πτερὸν καθύγρων ἐντὸς ἁρμόσας ὤμων,
μόνος τὰ πάντων ποικίλως ἐκοσμήθη,
καὶ πρὸς θεοὺς ἤϊξεν αἰετοῦ κρείσσων.
ὁ Ζεὺς δ' ἐθάμβει καὶ παρεῖχε τὴν νίκην,
εἰ μὴ χελιδὼν αὐτόν, ὡς Ἀθηναία,
ἤλεγξεν, ἑλκύσασα τὸ πτερὸν πρώτη.
ὁ δ' εἶπεν αὐτῇ· „Μή με συκοφαντήσῃς.“
τὸν δ' ἄρα τρυγὼν ἐσπάραττε καὶ κίχλα,
καὶ κίσσα, καὶ κορυδαλὸς σὺν τάφοις σπίζων,
χὠ νηπίων ἔφεδρος ὀρνέων ἴρηξ,
τά τ' ἄλλ' ὁμοίως· καὶ κολοιὸς ἐγνώσθη.
Ὦ παῖ, σεαυτὸν κόσμον οἰκεῖον κόσμει·
ξένοις γὰρ ἐμπρέπων στερηθήσῃ τούτων.

Ὅτι οἱ νόθον καὶ ἐπείσακτον αὐτοῖς περιθέντες κόσμον ἀλλοτρίῳ τε κάλλει σεμνυνόμενοι, εἴ ποτε τοῦ τοιούτου γυμνωθεῖεν, γέλως λοιπὸν τοῖς πρὶν ἀγνοοῦσιν ὁρῶνται.

73.

(ΙΚΤΙΝΟΣ.)

Ἴκτινος ἄλλην ὀξέην εἶχε κλαγγήν·
ἵππου δ' ἀκούσας χρεμετίσαντος εὐφώνως,
μιμούμενος τὸν ἵππον, οὔτε τὴν κρείττω
φωνὴν θελήσας ἔσχεν, οὔτε τὴν πρώτην.

Ὅτι οἱ τῶν ἀδυνάτων ἐρῶντες ἔσθ' ὅτε καὶ τῶν μετὰ χεῖρας ἀστοχοῦσι.

74.

(ΑΝΘΡΩΠΟΣ, ΙΠΠΟΣ, ΒΟΥΣ ΚΑΙ ΚΥΩΝ.)

Ἵππος τε καὶ βοῦς καὶ κύων ὑπὸ ψύχους
κάμνοντες ἦλθον οἰκίην ἐς ἀνθρώπου.
κἀκεῖνος αὐτοῖς τὰς θύρας ἀναπλώσας
παρῆγεν ἔνδον, καὶ παρ' ἑστίῃ θάλψας
πυρὸς γεμούσῃ παρετίθει τι τῶν ὄντων,
κριθὰς μὲν ἵππῳ, λάθυρα δ' ἐργάτῃ ταύρῳ·

ταύτης περισσῶς, ὡς λέγουσιν, ἠράσθη·
ἕπεται δὲ ταύτῃ πανταχοῦ βαδιζούσῃ.
Μήτ᾽ οὖν ἔθνη που, μὴ πόλεις τὰς ἀνθρώπων
ὕβρις μετέλθοι προσγελῶσα τοῖς δήμοις,
ἐπεὶ μετ᾽ αὐτὴν πόλεμος εὐθέως ἥξει.

ΑΡΧΗ ΤΟΥ Ι.

71.

(ΓΕΩΡΓΟΣ ΚΑΙ ΘΑΛΑΣΣΑ.)

Ἰδὼν γεωργὸς νῆα ναυτίλων πλήρη
βάπτουσαν ἤδη κῦμα κυρτὸν ἐκ πρώρης
„Ὦ πέλαγος“ εἶπεν, „εἴθε μήποτ᾽ ἐπλεύσθης,
„ἀνηλεὲς στοιχεῖον, ἐχθρὸν ἀνθρώποις.“
ἤκουσε δ᾽ ἡ θάλασσα καὶ γυναικείην
λαβοῦσα φωνὴν εἶπε· „Μή με βλασφήμει·
„ἐγὼ γὰρ ὑμῖν οὐδὲν αἰτίη τούτων,
„ἄνεμοι δὲ πάντως, ὧν ἐγὼ μέση κεῖμαι.
„τούτων δὲ χωρὶς ἂν ἴδῃς με καὶ πλεύσῃς,
„ἐρεῖς με τῆς σῆς ἠπιωτέρην γαίης.“
Ὅτι πολλὰ χρηστὰ πράγμαθ᾽ αἱ κακαὶ χρήσεις
τρέπουσιν εἰς τὸ χεῖρον, ὡς δοκεῖν φαῦλα.

Ὁ μῦθος οὗτος ἐλέγχει ἐκείνους, οἵ τινες διαβολαῖς πρὸς [τοὺς δυνάστι
βλάπτειν πεφύκασι τοὺς πέλας, οἳ παραπλήσιοί εἰσιν ἀνέμοις χειμερίοις

72.

(ΟΡΝΕΙΣ ΚΑΙ ΚΟΛΟΙΟΣ.)

Ἶρίς ποτ᾽ οὐρανοῖο πορφυρῆ κῆρυξ
πτηνοῖσι κάλλους εἶπεν ἐν θεῶν οἴκοις
ἀγῶνα κεῖσθαι· πᾶσι δ᾽ εὐθὺς ἠκούσθη·
καὶ πάντα θείων ἔσχεν ἵμερον δώρων.
ἔσταζε πέτρης αἰγὶ δυσβάτου κρήνη,
καὶ θερινὸν ὕδωρ καὶ διαυγὲς εἱστήκει,
πάντων τ᾽ ἐπ᾽ αὐτὸ φῦλον ἦλθεν ὀρνίθων,
πρόσωπα δ᾽ αὐτῶν ἐξέλουε καὶ κνήμας,

ἔσειε ταρσούς, ἐκτένιζε τὰς χαίτας.
ἦλθεν δ᾽ ἐκείνην καὶ κολοιὸς εἰς κρήνην,
γέρων κορώνης υἱός· ἄλλο δ᾽ ἐξ ἄλλου
πτερὸν καθύγρων ἐντὸς ἁρμόσας ὤμων,
μόνος τὰ πάντων ποικίλως ἐκοσμήθη,
καὶ πρὸς θεοὺς ἤϊξεν αἰετοῦ κρείσσων.
ὁ Ζεὺς δ᾽ ἐθάμβει καὶ παρεῖχε τὴν νίκην,
εἰ μὴ χελιδὼν αὐτόν, ὡς Ἀθηναία,
ἤλεγξεν, ἑλκύσασα τὸ πτερὸν πρώτη.
ὁ δ᾽ εἶπεν αὐτῇ· „Μή με συκοφαντήσῃς."
τὸν δ᾽ ἄρα τρυγὼν ἐσπάραττε καὶ κίχλα,
καὶ κίσσα, καὶ κορυδαλὸς οὑν τάφοις σπίζων,
χὠ νηπίων ἔφεδρος ὀρνέων ἴρηξ,
τά τ᾽ ἄλλ᾽ ὁμοίως· καὶ κολοιὸς ἐγνώσθη.
Ὦ παῖ, σεαυτὸν κόσμον οἰκεῖον κόσμει·
ξένοις γὰρ ἐμπρέπων στερηθήσῃ τούτων.

Ὅτι οἱ νόθον καὶ ἐπείσακτον αὐτοῖς περιθέντες κόσμον ἀλλοτρίῳ τε κάλλει σεμνυνόμενοι, εἴ ποτε τοῦ τοιούτου γυμνωθεῖεν, γέλως λοιπὸν τοῖς πρὶν ἀγνοοῦσιν ὁρῶνται.

73.

(*ΙΚΤΙΝΟΣ.*)

Ἴκτινος ἄλλην ὀξέην εἶχε κλαγγήν·
ἵππου δ᾽ ἀκούσας χρεμετίσαντος εὐφώνως,
μιμούμενος τὸν ἵππον, οὔτε τὴν κρείττω
φωνὴν θελήσας ἔσχεν, οὔτε τὴν πρώτην.

Ὅτι οἱ τῶν ἀδυνάτων ἐρῶντες ἔσθ᾽ ὅτε καὶ τῶν μετὰ χεῖρας ἀστοχοῦσι.

74.

(*ΑΝΘΡΩΠΟΣ, ΙΠΠΟΣ, ΒΟΥΣ ΚΑΙ ΚΥΩΝ.*)

Ἵππος τε καὶ βοῦς καὶ κύων ὑπὸ ψύχους
κάμνοντες ἦλθον οἰκίην ἐς ἀνθρώπου.
κἀκεῖνος αὐτοῖς τὰς θύρας ἀναπλώσας
παρῆγεν ἔνδον, καὶ παρ᾽ ἑστίῃ θάλψας
πυρὸς γεμούσῃ παρετίθει τι τῶν ὄντων,
κριθὰς μὲν ἵππῳ, λάθυρα δ᾽ ἐργάτῃ ταύρῳ·

ὁ κύων γὰρ αὐτῷ συντράπεζος εἱστήκει.
ξενίας δ' ἀμοιβὴν ἀντέδωκαν ἀνθρώπῳ,
μερίσαντες αὐτῷ τῶν ἐτῶν ἀφ' ὧν ἔζων·
ὁ μὲν ἵππος εὐθύ· διόπερ ἐν χρόνοις πρώτοις
ἕκαστος ἡμῶν γαῦρός ἐστι τὴν γνώμην·
ὁ δὲ βοῦς μετ' αὐτόν· διόπερ εἰς μέσους ἥκων
μοχθεῖ φίλεργός τ' ἐστὶν ὄλβον ἀθροίζων·
ὁ κύων δ' ἔδωκε, φασί, τοὺς τελευταίους.
διὸ δυσκολαίνει, Βράγχε, πᾶς ὁ γηράσας
καὶ τὸν διδόντα τὴν τροφὴν μόνον σαίνει,
ἀεὶ δ' ὑλακτεῖ καὶ ξένοισιν οὐ χαίρει.

Διαβολὴν ὁ μῦθος ἔχει ἀνδρῶν ἐκείνων, τῶν μηδεμίαν τοῖς ξένο
πρόνοιαν ποιουμένων, εἰς μόνον δὲ τοὺς οἰκείους τὴν στοργὴν περιιστώ
των, ἀπὸ τῆς τοῦ κυνὸς ὑποδείξεως.

75.

(ΙΑΤΡΟΣ ΑΤΕΧΝΟΣ.)

Ἰατρὸς ἦν ἄτεχνος. οὗτος ἀῤῥώστῳ
πάντων λεγόντων· „Μὴ δέθιδι, σωθήσῃ·
„πάθος μέν ἐστι χρόνιον, ἀλλ' ἔσῃ ῥάων.“
ὡδ' ἀτεχνὴς ἰατρὸς εἶπεν εἰσβαίνων·
„Ἕτοιμα δεῖ σε πάντ' ἔχειν· ἀποθνήσκεις·
„οὐκ ἐξαπατῶ σε“ φησίν, „οὐδ' ἐνεδρεύω·
„τὴν αὔριον γὰρ τὸ μακρὸν οὐχ ὑπερβήσῃ.“
ταῦτ' εἶπε, καὶ τὸ λοιπὸν οὐκέτ' εἰσῄει.
χρόνῳ δ' ἐκεῖνος ἐκ νόσων ἀνασφήλας
προ[illegible] ὠχρός, τοῖς ποσὶν μόλις βαίνων.
ὁ δ[illegible]ὸς αὐτῷ „Χαῖρ'“ ἔφη συναντήσας,
καὶ [illegible]ς ἔχουσιν οἱ κάτω διηρώτα.
κἀκεῖνος εἶπεν· „Ἠρεμοῦσι, τῆς Λήθης
„πιόντες. ἡ Κόρη δὲ χὠ μέγας Πλούτων
„πρῴην ἰατροῖς δεινὰ πᾶσιν ἠπείλουν
„ἐπὶ τῷ θεραπεύειν τοὺς νοσοῦντας ἀνθρώπους,
„ἀνέγραφον δὲ πάντας· ἐν δὲ τοῖς πρώτοις
„καὶ σὲ γράφειν ἔμελλον· ἀλλ' ἐγὼ δείσας
„εὐθὺς προσῆλθον ἡψάμην τε τῶν σκήπτρων

ἡ δ' εἶπ'· „Ἐμοὶ γένοιτο κἂν ὁδῷ βαίνειν
„ἄνευ γέλωτος, μή τι κἂν χορῷ παίζειν.“

Ἀντίῤῥησιν ὁ λόγος ἔχει παρὰ τῶν σωφρόνως ζῆν αἱρουμένων πρὸς τοὺς ἐν βίῳ κενὰ ἐπινοουμένους.

81.

(ΑΛΩΠΗΞ ΚΑΙ ΠΙΘΗΚΟΣ.)

Κερδοῖ πίθηκος εἶπεν· „Ἣν ὁρᾷς στήλην,
„ἐμὴ πατρῴα τ' ἐστὶ κἄτι παππῴη.“
κερδὼ πιθήκῳ φησίν· „Ὡς θέλεις ψεύδου,
„ἔλεγχον οὐκ ἔχουσα τῆς ἀληθείης.“
Κακοῦ πρὸς ἀνδρός ἐστι μὴ φεύγειν ψεῦδος,
κἂν λανθάνειν ψευδόμενος εὐχερῶς μέλλῃ.

Οὕτως οἱ λίαν ψευδολόγοι τότε μάλιστα καταλαζονεύονται, ὅτε τοὺς ἐλέγχους κατ' ὄψιν οὐκ ἔχουσι.

82.

(ΛΕΩΝ ΚΑΙ ΑΛΩΠΗΞ.)

Κοιμωμένου λέοντος ἀγρίης χαίτης
διέδραμεν μῦς· ὁ δὲ λέων ἐθυμώθη
φρίξας δὲ χαίτην ἔθορε φωλάδος κοίτης.
κερδὼ δ' ἐπεχλεύαζεν, ὡς ἐκινήθη
[πρὸς μῦν ὁ πάντων βασιλεύων θηρίων.]
ὁ δ' „Οὐχὶ τὸν μῦν“ εἶπεν, „ὦ παλαμναίη,
„δέδοικα, μή μου τὴν δορὴν κνίσῃ φεύγων·
„χαίτην δ' ἔμελλε τὴν ἐμὴν καταισχύνειν.
[„κακὴν δὲ μελέτην ἐπ' ἐμὲ τῆς ὁδοῦ τρίβει.“]
Ἀρχόμενον ἄρτι τὸ θρασὺ τῶν ὑβριζόντων,
κἂν μικρὸν ᾖ, κώλυε μηδὲ συγχώρει
εὐκαταφρόνητον σαυτὸν εἶναι τοῖς φαύλοις.

Ὁ λόγος διδάσκει ὅτι οὐδὲ ὑπὸ τῶν μετρίων δεῖ ἡμᾶς καταφρονεῖσθαι διὰ τὸ μὴ ἐντεῦθεν συνήθειαν κακὴν γεννηθῆναι.

83.

(ΙΠΠΟΣ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.)

Κριθάς τις ἵππον πᾶσαν ἡμέραν πίνων
* * * * * *

„θηητὸς αὐχήν· στέρνον αἰετοῦ φαίνεις·
„ὄνυξι πάντων θηρίων κατισχύεις·
„ὁ τοῖος ὄρνις κωφὸς ἐσσὶ κοὐ κρώζεις.“
κόραξ δ' ἐπαίνῳ καρδίην ἐχαυνώθη,
στόματος δὲ τυρὸν ἐκβαλὼν ἐκεκράγει.
τὸν δ' ἡ σοφὴ λαβοῦσα κερτόμῳ γλώσσῃ
„οὐκ ἦσθ' ἄφωνος“ εἶπεν, „ἀλλὰ φωνήεις.
„ἔχεις, κόραξ, ἅπαντα· νοῦς δέ σοι λείπει.“

Ὁ μῦθος διδάσκει μηδαμῶς ἄνθρωπον ἐπαίνοις ἐξαπατᾶσθαι· ζημίαι γὰρ ἐντεῦθεν καὶ ἀτιμίαι εἰώθασι γίνεσθαι.

78.

(ΚΟΡΑΞ ΝΟΣΩΝ.)

Κόραξ νοσήσας εἶπε μητρὶ κλαιούσῃ·
„Μὴ κλαῖε, μῆτερ· ἀλλὰ τοῖς θεοῖς εὔχου
„νόσου με δεινῆς καὶ πόνων ἀνασφῆλαι.“
„Καὶ τίς σε“ φησί „τῶν θεῶν, τέκνον, σώσει;
„τίνος γὰρ ὑπὸ σοῦ βωμὸς οὐκ ἐσυλήθη;“

Ὅτι τοῖς ἀμεταμέλητα, φησίν, εἰς θεὸν πλημμελοῦσιν ἀνωφελεῖς γίγνονται αἱ ὑπὲρ αὐτῶν δεήσεις.

79.

(ΚΥΩΝ ΚΑΙ ΣΚΙΑ.)

Κρέας κύων ἔκλεψεν ἐκ μαγειρείου.
καὶ δὴ παρήει ποταμόν· ἐν δὲ τῷ ῥείθρῳ
πολὺ τοῦ κρέως ἰδοῦσα τὴν σκιὴν μείζω,
τὸ κρέας ἀφῆκε, τῇ σκιῇ δ' ἐφωρμήθη.
ἀλλ' [illegible] ἐκείνην εὗρεν, οὔθ' ὃ βεβλήκει,
πεινῶσα δ' ὀπίσω τὸν πόρον διεξῄει.
Βίος ἀβέβαιος παντὸς ἀνδρὸς ἀπλήστου
ἐλπίσι ματαίαις πραγμάτων ἀναλοῦται.

80.

(ΚΑΜΗΛΟΣ.)

Κάμηλον ἠνάγκαζε δεσπότης πίνων
ὀρχεῖσθ' ὑπ' αὐλοῖς κυμβάλοις τε χαλκείοις.

„ἄλλοι μὲν ἡμῶν μέλανες, οἱ δὲ τεφρώδεις·
„ἔνιοι δὲ λαμπροὶ καὶ διάργεμοι στήθη,
„ἄλλοι δὲ λευκοί· πῶς ἂν οὖν δυνηθείην
„εἰς πόλεμον ἄρχειν“ εἶπε „τῶν ἀσυμφώνων
„πρὸς τοὺς ὅμοια πάντ᾽ ἔχοντας ἀλλήλοις;“
Συμφωνία μέγιστον ἀγαθὸν ἀνθρώποις·
τὸ δὲ στασιάζον ἀσθενές τε καὶ δοῦλον.

86.

(ΑΛΩΠΗΞ ΟΓΚΩΘΕΙΣΑ.)

Κοίλωμα ῥίζης φηγὸς εἶχεν ἀρχαίη.
ἐν τῇ δ᾽ ἔκειτο ῥωγὰς αἰπόλου πήρη,
ἄρτων ἑώλων πᾶσα καὶ κρεῶν πλήρης·
ταύτην ἀλώπηξ εἰσδραμοῦσα τὴν πήρην
ἐξέφαγε· γαστὴρ δ᾽, ὥσπερ εἰκός, ὠγκώθη,
στενῆς δὲ τρώγλης οὐκέτ᾽ εἶχεν ἐκδῦναι.
ἑτέρα δ᾽ ἀλώπηξ, ὡς ἐπῆλθε κλαιούσῃ,
σκώπτουσ᾽ „Ἀνάμεινον“ εἶπεν, „ἄχρι πεινήσῃς·
„οὐδ᾽ ἐξελεύσῃ πρότερον, ἄχρι τοιαύτην
„τὴν γαστέρα σχῇς, ἡλίκην ὅτ᾽ εἰσῄεις.“

Ὁ μῦθος παραινεῖ μηδαμῶς σπεύδειν τινὰ πρὸς πλεονεξίαν τοῦ πέλας, ν[illegible]σκων ὅτι τὰ χαλεπὰ τῶν πραγμάτων ὁ χρόνος διαλύει.

87.

(ΚΥΩΝ ΚΑΙ ΛΑΓΩΟΣ.)

Κύων λαγωὸν ἐξ ὄρους ἀναστήσας
ἐδίωκε δάκνων αὐτόν, εἰ κατειλήφει·
μεταστραφεὶς δ᾽ ἔσαινεν ὡς φίλῳ ψαύων.
ὁ λαγωὸς „Ἁπλοῦν“ δ᾽ εἶπε „θηρίον γί[illegible]ν·
„φίλος εἶ; τί δάκνεις; ἐχθρὸς εἶ; τί [illegible]εις;“
Ἀμφίβολος οὗτός ἐστι νοῦς ἐν ἀνθρ[illegible]
οἷς οὔτ᾽ ἀπιστεῖν ἔχομεν, οὔτε πιστεύ[illegible]

88.

(ΚΟΡΥΔΑΛΟΣ ΚΑΙ ΝΕΟΣΣΟΙ.)

Κορυδαλὸς ἦν τις ἐν χλόῃ νεοσσεύων
τῷ χαραδριῷ τε πρὸς τὸν ὄρθρον ἀντᾴδων·

ἔτριβεν, ἐκτένιζεν ἡμέρῃ πάσῃ·
ὁ δ᾽ εἶπεν· „Εἰ θέλεις με ταῖς ἀληθείαις
„καλὸν γενέσθαι, τὸ τρέφον με μὴ πώλει.“

Ὅτι τῶν καιρίων δεῖ τὸν φιλοῦντα φροντίζειν καὶ συμφερόντων· κόσμος γὰρ οὐδὲν ὀνήσει τὸν ἀποροῦντα τῶν ἀναγκαίων.

Ὁ παρὼν ῥηθήσεται λόγος πρὸς τοὺς ἀντὶ ἀναγκαίων πραγμάτων τοῖς λόγοις μόνοις τοὺς πέλας ἐξαπατῶντας.

84.

(ΚΩΝΩΨ ΚΑΙ ΤΑΥΡΟΣ.)

Κώνωψ ἐπιστὰς κέρατι καμπύλῳ ταύρου
μικρόν τ᾽ ἐπισχὼν εἶπε ταῦτα βομβήσας·
„Εἴ σου βαρύνω τὸν τένοντα καὶ κλίνω,
„καθεδοῦμ᾽ ἀπελθὼν ποταμίας ἐπ᾽ αἰγείρου.“
ὁ δ᾽ „Οὐ μέλει μοι“ φησίν, „οὔτ᾽ ἐὰν μείνῃς,
οὔτ᾽ ἂν ἀπέλθῃς· οὐδ᾽ ὅτ᾽ ἦλθες ἐγνώκειν.“
Γελοῖος ὅστις οὐδὲν ὢν κατ᾽ ἀνθρώπων
τῶν κρειττόνων θρασύνεθ᾽ ὥς τις ὢν σφόδρα.

Κατηγορίαν ὁ λόγος περιέχει ἀνδρὸς εὐτελοῦς καὶ λίαν ἀδυνάτου, ὑπολήψεις δὲ μεγάλας περὶ ἑαυτοῦ κεκτημένου.

85.

(ΚΥΝΕΣ ΚΑΙ ΛΥΚΟΙ.)

Κυσίν ποτ᾽ ἔχθρα καὶ λύκοις συνειστήκει.
κύων δ᾽ Ἀχαιὸς ἡρέθη κυνῶν δήμου
στρατηγὸς εἶναι. καὶ μάχης ἐπιστήμων
ἔμελλεν, ἐβράδυνεν. οἱ δ᾽ ἐπηπείλουν,
εἰ μὴ προάξῃ τὴν μάχην ἐνεδρεύσει.
„Ἀκούσατ᾽“ εἶπεν „οὗ χάριν διατρίβω,
„τί δ᾽ εὐλαβοῦμαι· χρὴ δ᾽ ἀεὶ προβουλεύειν.
„τῶν μὲν πολεμίων τὸ γένος ὧν ὁρῶ πάντων
„ἕν ἐστιν· ἡμῶν δ᾽ ἦλθον οἱ μὲν ἐκ Κρήτης,
„οἱ δ᾽ ἐκ Μολοσσῶν εἰσιν, οἵδ᾽ Ἀκαρνάνων,
„ἄλλοι δὲ Δόλοπες· οἱ δὲ Κύπρον ἢ Θρᾴκην
„αὐχοῦσιν· ἄλλοι δ᾽ ἄλλοθεν. τί μηκύνω;
„τὸ χρῶμα δ᾽ ἡμῖν οὐχ ἕν ἐστιν ὡς τούτοις.

„Ἀλλ' οὐκ ἄδειπνον" εἶπε „τὸν λύκον θήσεις,
„κἂν εὐχερῶς μου πᾶσαν αἰτίαν λύσῃς."

Ὅτι τοὺς φύσει πονηροὺς καὶ ἀδίκους οὐδ' εὔλογος ἀπολογία πείθει.

90.

(ΛΕΩΝ ΚΑΙ ΝΕΒΡΟΣ.)

Λέων ἐλύσσα· τὸν δὲ νεβρὸς ἐξ ὕλης
ἰδὼν ἔφησεν· „Ἡμέων ταλαιπώρων.
„τί γὰρ μεμηνὼς οὗτος οὐχὶ ποιήσει,
„ὃς ἦν φορητὸς οὐδὲ σωφρονῶν ἡμῖν;"

Πρὸς ἄνδρα φύσει ὀργίλον καὶ αἱμοβόρον ἐξουσίαν ἀρχῆς κατὰ τῶν ὑπηκόων λαμβάνοντα.

91.

(ΤΑΥΡΟΣ ΚΑΙ ΤΡΑΓΟΣ.)

Λέοντα φεύγων ταῦρος εἰς ἐρημαίην
σπήλυγγα κατέδυ ποιμένων ὀρειφοίτων,
ὅπου τράγος τις χωρὶς αἰπόλου μείνας
τὸν ταῦρον ἐμβὰς τοῖς κέρασιν ἐξώθει.
ὁ δ' εἶπεν· „Οὐ σέ, τὸν λέοντα δ' ἐκκλίνω.
„ἀνέξομαί σου μικρὰ τῆς ἐπηρείης·
„ἐπεὶ παρελθέτω με, καὶ τότε γνώσῃ
„πόσον τράγου μεταξὺ καὶ πόσον ταύρου."

Πρὸς τοὺς τοῖς δυνατωτέροις ἐπεμβαίνοντας δι' ἐπικειμένην αὐτοῖς συμφοράν.

92.

(ΚΥΝΗΓΟΣ ΔΕΙΛΟΣ.)

Λέοντά τις κυνηγὸς οὐχὶ τολμήεις
ἴχνευεν ὀρέων ἐν βαθυσκίοις ὕλαις·
δρυτόμῳ δὲ μακρᾶς ἐγγὺς ἐντυχὼν πεύκης
„Ὦ πρὸς σὲ Νυμφῶν," εἶπεν, „ἆρα γινώσκεις
„ἴχνη λέοντος, ὅστις ὧδε φωλεύει;"
κἀκεῖνος εἶπεν· „Ἀλλὰ σὺν θεῷ βαίνεις·

καὶ παῖδας εἶχε ληΐου κόμῃ θρέψας
λοφῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίους.
ὁ δὲ τῆς ἀρούρης δεσπότης ἐποπτεύων,
ὡς ξηρὸν εἶδε τὸ θέρος, εἶπε· „Νῦν ὥρη
„πάντας λαβεῖν μοι τοὺς φίλους, ἵν᾽ ἀμήσω.“
καί τις κορυδαλοῦ τῶν λοφηφόρων παίδων
ἤκουεν αὐτοῦ τῷ τε πατρὶ μηνύει,
σκοπεῖν κελεύων ποῦ σφέας μεταστήσει.
ὁ δ᾽ εἶπεν· „Οὔπω καιρός ἐστι νῦν φεύγειν·
„ὃς γὰρ φίλοις πέποιθεν οὐκ ἄγαν σπεύδει.“
ὡς αὖτις ἦλθεν, ἡλίου δ᾽ ὑπ᾽ ἀκτίνων
ἤδη ῥέοντα τὸν στάχυν θεωρήσας,
μισθὸν μὲν ἀμητῆρσιν αὔριον δώσειν,
μισθὸν δὲ πᾶσι δραγματηφόροις δώσειν
εἶπεν, κορυδαλὸς παισὶ νηπίοις· „Ὄντως
„νῦν ἐστιν ὥρη, παῖδες, ἀλλαχοῦ φεύγειν,
„ὅτ᾽ αὐτὸς αὐτῷ κοὐ φίλοισι πιστεύει.“

Ὁ μῦθος διδάσκει ἡμᾶς ἐπιμελεῖσθαι τῶν οἰκείων, ὅση δύναμ μὴ καταφρονεῖν, θαῤῥοῦντας ταῖς τῶν φίλων συνδρομαῖς.

ΑΡΧΗ ΤΟΥ Λ.

89.

(ΛΥΚΟΣ ΚΑΙ ΑΡΝΙΟΝ.)

Λύκος πότ᾽ ἄρνα πεπλανημένον ποίμνης
ἰδὼν βίᾳ μὲν οὐκ ἐπῆλθεν ἁρπάξων,
ἔγκλημα δ᾽ ἔχθρας εὐπρόσωπον ἐζήτει.
„Οὐ σύ με τι πέρυσι μικρὸς ὢν ἐβλασφήμεις.“
„Ἐγὼ οὐ περυσινὸς εἰμ᾽, ἐπ᾽ ἔτος ἐγεννήθην.“
„Οὐκοῦν σὺ τὴν ἄρουραν, ἣν ἔχω, κείρεις.“
„Οὔπω τι χλωρὸν ἔφαγον, οὐδ᾽ ἐβοσκήθην.“
„Οὐδ᾽ ἄρα πηγὴν ἐκπέπωκας, ἣν πίνω;“
„Θηλὴ μεθύσκει μέχρι νῦν με μητρῴα.“
τότε δὴ τὸν ἄρνα συλλαβών τε καὶ τρώγων

„Ἀλλ᾽ οὐκ ἄδειπνον“ εἶπε „τὸν λύκον θήσεις,
„κἂν εὐχερῶς μου πᾶσαν αἰτίαν λύσῃς.“

Ὅτι τοὺς φύσει πονηροὺς καὶ ἀδίκους οὐδ᾽ εὔλογος ἀπολογία πείθει.

90.

(ΛΕΩΝ ΚΑΙ ΝΕΒΡΟΣ.)

Λέων ἐλύσσα· τὸν δὲ νεβρὸς ἐξ ὕλης
ἰδὼν ἔφησεν· „Ἡμέων ταλαιπώρων.
„τί γὰρ μεμηνὼς οὗτος οὐχὶ ποιήσει,
„ὃς ἦν φορητὸς οὐδὲ σωφρονῶν ἡμῖν;“

Πρὸς ἄνδρα φύσει ὀργίλον καὶ αἱμοβόρον ἐξουσίαν ἀρχῆς κατὰ τῶν ὑπηκόων λαμβάνοντα.

91.

(ΤΑΥΡΟΣ ΚΑΙ ΤΡΑΓΟΣ.)

Λέοντα φεύγων ταῦρος εἰς ἐρημαίην
σπήλυγγα κατέδυ ποιμένων ὀρειφοίτων,
ὅπου τράγος τις χωρὶς αἰπόλου μείνας
τὸν ταῦρον ἐμβὰς τοῖς κέρασιν ἐξώθει.
ὁ δ᾽ εἶπεν· „Οὐ σέ, τὸν λέοντα δ᾽ ἐκκλίνω.
„ἀνέξομαί σου μικρὰ τῆς ἐπηρείης·
„ἐπεὶ παρελθέτω με, καὶ τότε γνώσῃ
„πόσον τράγου μεταξὺ καὶ πόσον ταύρου.“

Πρὸς τοὺς τοῖς δυνατωτέροις ἐπεμβαίνοντας δι᾽ ἐπικειμένην αὐτοῖς συμφοράν.

92.

(ΚΥΝΗΓΟΣ ΔΕΙΛΟΣ.)

Λέοντά τις κυνηγὸς οὐχὶ τολμήεις
ἴχνευεν ὀρέων ἐν βαθυσκίοις ὕλαις·
δρυτόμῳ δὲ μακρᾶς ἐγγὺς ἐντυχὼν πεύκης
„Ὦ πρὸς σὲ Νυμφῶν,“ εἶπεν, „ἆρα γινώσκεις
„ἴχνη λέοντος, ὅστις ὧδε φωλεύει;“
κἀκεῖνος εἶπεν· „Ἀλλὰ σὺν θεῷ βαίνεις·

ὣς εἶπε κερδώ. τῆς δ' ὁ νοῦς ἐχαυνώθη
λόγοισι ποιητοῖσιν· ἦλθε δ' εἰς κοίλην
σπήλυγγα θηρὸς καὶ τὸ μέλλον οὐκ ᾔδει.
λέων δ' ἀπ' εὐνῆς ἀσκόπως ἐφορμήσας
ὄνυξιν οὔατ' ἐσπάραξεν ἀκραίοις,
σπουδῇ διωχθείς· τὴν δὲ φύζα δειλαίην
θύρης κατιθὺς ἦγεν εἰς μέσας ὕλας.
κερδὼ δὲ χεῖρας ἐπεκρότησεν ἀλλήλαις,
ἐπεὶ πόνος μάταιος ἐξανηλώθη.
κἀκεῖνος ἐστέναζε τὸ στόμα βρύχων·
ὁμοῦ γὰρ αὐτὸν λιμὸς εἶχε καὶ λύπη.
πάλιν δὲ κερδὼ καθικέτευε φωνήσας,
ἄλλον τιν' εὑρεῖν δεύτερον δόλον θήρης.
ἡ δ' εἶπε κινήσασα βυσσόθεν γνώμην·
„Χαλεπὸν κελεύεις αὖθις, ἀλλ' ὑπουργήσω."
καὶ δὴ κατ' ἴχνος, ὡς σοφὴ κύων, ᾔει,
πλέκουσα τέχνας καὶ πανουργίας πάσας·
ἀεὶ δ' ἕκαστον ποιμένων ἐπηρώτα,
μή πού τις ἔλαφος ᾑματωμένη φεύγει·
τὴν δ' ὥς τις εἶδε, δεικνύων ἂν ὡδήγει,
ἕως ποθ' εὗρεν ἐν κατασκίῳ χώρῳ
δρόμων ἀναψύχουσαν. ἡ δ' ἀναιδείης
ὀφρὺν ἔχουσα καὶ μέτωπον εἱστήκει.
ἐλάφου δὲ φρὶξ ἐπέσχε νῶτα καὶ κνήμας,
χολὴ δ' ἐπέζει καρδίην· ἔφη δ' οὕτω·
[„Σὺ νῦν διώκεις πανταχοῦ με, καὶ φεύγω.]
„ἀλλ', ὦ στύγημα, νῦν μὲν οὐχὶ χαιρήσεις,
„ἤν μοι προσέλθῃς καί τι γρύξαι τολμήσῃς.
„ἄλλοις ἀλωπέκιζε τοῖς ἀπειρήτοις·
„ἄλλους δὲ βασιλεῖς ὑπερέθιζε καὶ ποίει."
τῆς δ' οὐκ ἐτρέφθη θυμός· ἀλλ' ὑποβλήδην
„Οὕτως ἀγεννής" φησί „καὶ φόβου πλήρης
„πέφυκας; οὕτω τοὺς φίλους ὑποπτεύεις;
„ὁ μὲν λέων σοι συμφέροντα βουλεύων
„μέλλων τ' ἐγείρειν τῆς πάροιθε νωθείης
„ἔψαυσεν ὠτός, ὡς πατὴρ ἀποθνήσκων·
„ἔμελλε γάρ σοι πᾶσαν ἐντολὴν δώσειν,
„ἀρχὴν τοσαύτην πῶς λαβοῦσα τηρήσεις.

„σὺ δ' οὐχ ὑπέστης κνίσμα χειρὸς ἀῤῥώστου,
„βίῃ δ' ἀποσπασθεῖσα μᾶλλον ἐτρώθης.
„καὶ νῦν ἐκεῖνος πλεῖον ἢ σὺ θυμοῦται,
„λίην ἄπιστον πειράσας σε καὶ κούφην,
„βασιλέα δέ φησι τὸν λύκον καταστήσειν.
„οἴμοι πονηροῦ δεσπότου· τί ποιήσω;
„ἅπασιν ἡμῖν αἰτίη κακῶν γίνῃ.
„ἀλλ' ἐλθὲ καὶ τὸ λοιπὸν ἴσθι γενναία,
„μηδ' ἐπτόησο πρόβατον οἷον ἐκ ποίμνης.
„ὄμνυμι γάρ σοι φύλλα πάντα καὶ κρήνας,
„οὕτω γένοιτο σοὶ μόνῃ με δουλεύειν,
„ὡς οὐδὲν ἐχθρὸν οἶδεν, ἀλλ' ὑπ' εὐνοίης
„τίθησι πάντων κυρίαν σε τῶν ζῴων.“
τοιαῦτα κωτίλλουσα τὴν ἀχαΐνην
ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην.
ἐπεὶ δὲ λόχμης εἰς μυχὸν κατεκλείσθη,
λέων μὲν αὐτὸς εἶχε δαῖτα παντοίην,
σάρκας λαφύσσων, μυελὸν ὀστέων πίνων
καὶ σπλάγχνα δάπτων· ἡ δ' ἀγωγὸς εἱστήκει
πεινῶσα θήρης· καρδίην δὲ νεβρείην
λάπτει πεσοῦσαν, ἁρπάσασα λαθραίως·
καὶ τοῦτο κέρδος εἶχεν ὧν ἐκεκμήκει.
λέων δ' ἕκαστον ἐγκάτων ἀριθμήσας
μόνην ἀπ' ἄλλων καρδίην ἐπεζήτει
καὶ πᾶσαν εὐνήν, πάντα δ' οἶκον ἠρεύνα·
κερδὼ δ' ἀπαιολῶσα τῆς ἀληθείης
„Οὐκ εἶχε πάντως“ φησί· „μὴ μάτην ζήτει.
„ποίην δ' ἔμελλε καρδίην ἔχειν, ἥτις
„ἐκ δευτέρου λέοντος ἦλθεν εἰς οἴκους;“

Ὅτι τοὺς τοῖς προλαβοῦσι κακοῖς μὴ σωφρονισθέντας εἰκότως ἄφυκτα διαδέχεται· ἐν ᾧ καὶ ἔλεγχος κατὰ φιλοδόξων.

96.

(ΛΥΚΟΣ ΚΑΙ ΑΡΝΕΙΟΣ.)

Λύκος παρῄει θριγκόν, ἔνθεν ἐκκύψας
ἀρνειὸς αὐτὸν ἔλεγε πολλὰ βλασφήμως.
κἀκεῖνος εἶπε τὰς σιαγόνας πρίων·

„Ὁ τόπος μ' ἐλοιδόρησε· μὴ σὺ καυχήσῃ."
Ὁ μῦθος ὀρθῶς πᾶσι τοῦτο μηνύει·
μηδεὶς διὰ καιρὸν ἰσχύων τι γαυρούσθω.

Κατάλληλος ὁ μῦθος τοῖς διὰ περίστασιν καὶ τόπον κατὰ τύχην τῶν δυνατωτέρων κατεπαιρομένοις.

97.

(*ΛΕΩΝ ΚΑΙ ΤΑΥΡΟΣ.*)

Λέων ποτ' ἐπεβούλευεν ἀγρίῳ ταύρῳ,
καὶ προςποιηθεὶς μητρὶ τῶν θεῶν θύειν,
τὸν ταῦρον ἐλθεῖν ἐπὶ τὸ δεῖπνον ἠρώτα.
κἀκεῖνος ἥξειν εἶπεν, οὐχ ὑποπτεύσας.
ἐλθὼν δὲ καὶ στὰς ἐπὶ θύρας λεοντείους,
ὡς εἶδε θερμοῦ πολλὰ χαλκία πλήρη,
σφαγίδας, μαχαίρας, βουδόρους νεοσμήκτους,
πρὸς τῇ θύρᾳ δὲ μηδὲν ἀλλ' ἢ δεσμώτην
ἀλεκτορίσκον, ᾤχετ' εἰς ὄρος φεύγων.
ἐμέμφεθ' ὁ λέων ὕστερον συναντήσας.
ὁ δ' „Ἦλθον" εἶπε, „καὶ τὸ σύμβολον δώσω·
„οὐκ ἦν ὅμοιον θῦμα τῷ μαγειρείῳ."

Ὁ μῦθος ἡμᾶς ὑπομιμνήσκει, τὸ ἐπιὸν πάντως δεινὸν προορῶντας, μηδαμῶς ἀμελεῖν τῆς ἑαυτῶν σωτηρίας.

98.

(*ΛΕΩΝ ΜΝΗΣΤΗΡ.*)

Λέων ἁλοὺς ἔρωτι παιδὸς ὡραίας
παρὰ πατρὸς ἐμνήστευε. τῷ δ' ὁ πρεσβύτης,
οὐδέν τι δύσνουν οὐδ' ὕπουλον ἐμφήνας,
„Δίδωμι γῆμαι" φησί „καὶ διδοὺς χαίρω.
„τίς οὐ δυνάστῃ καὶ λέοντι κηδεύσει;
„φρένες δὲ δειλαὶ παρθένων τε καὶ παίδων·
„σὺ δ' ἡλίκους μὲν ὄνυχας, ἡλίκους δ' ἥμιν
„φέρεις ὀδόντας; τίς κόρη σε τολμήσει
ἀφόβως περιβαλεῖν; τίς δ' ἰδοῦσα μὴ κλαύσει;
„πρὸς ταῦτα δὴ σκόπησον, εἰ γάμου χρῄζεις,
„μηδ' ἄγριος θήρ, ἀλλὰ νυμφίος γίγνου."
ὁ δὲ πτερωθεὶς τῇ δόσει τε πιστεύσας

ἐξεῖλε τοὺς ὀδόντας, εἶθ᾽ ὑπὸ σμίλης
ἀπωνυχίσθη, τῷ τε πενθερῷ δείξας
τὴν παῖδ᾽ ἀπῄτει. τὸν δ᾽ ἕκαστος ἠλοία,
ῥοπάλῳ τις ἢ λίθῳ τις ἐκ χειρὸς παίων.
ἔκειτο δ᾽ ἀργός, ὥσπερ ὗς ἀποθνήσκων,
γέροντος ἀνδρὸς ποικίλου τε τὴν γνώμην
σοφίῃ διδαχθείς, ὡς ἄμικτον ἀνθρώποις
ἐρᾶν λεόντων ἢ λέοντας ἀνθρώπων.
Αὐτός τις αὑτὸν λανθάνει κακῶς δράσας,
ὧν οὐ πέφυκε μεταλαβεῖν ὅταν σπεύδῃ.

99.

(ΛΥΚΟΣ ΚΑΙ ΚΥΩΝ.)

Λύκῳ συνήντα πιμελὴς κύων λίαν.
ὁ δ᾽ αὐτὸν ἐξήταζε, ποῦ τραφεὶς οὕτω
μέγας κύων ἐγένετο καὶ λίπους πλήρης.
„Ἄνθρωπος“ εἶπε „δαψιλής με σιτεύει.“
„Ὁ δέ σοι τράχηλος“ εἶπε „πῶς ἐλευκώθη;“
„Κλοιῷ τέτριπται σάρκα τῷ σιδηρείῳ,
„ὃν ὁ τροφεύς μοι περιτέθεικε χαλκεύσας.“
λύκος δ᾽ ἐπ᾽ αὐτῷ καγχάσας „Ἐγὼ τοίνυν
„χαίρειν κελεύω“ φησὶ „τῇ τροφῇ ταύτῃ,
„δι᾽ ἣν σίδηρος τὸν ἐμὸν αὐχένα τρίψει.“

Ὅτι αἰσχρὸν καὶ ἐπονείδιστον τὸν μικρᾶς ἡδονῆς χάριν δουλοπρεπῶς ζωὴν φευκτέον ὁ μῦθος παραινεῖ.

100.

(ΛΕΩΝ ΚΑΙ ΑΕΤΟΣ.)

Λέοντι προσπτὰς αἰετῶν τις ἐζήτει
κοινωνὸς εἶναι· χὠ λέων „Τί κωλύει;“
πρὸς αὐτὸν εἶπεν. „ἀλλ᾽ ἐνέχυρά μοι δώσεις
„τὠκύπτερόν σου μὴ μεθεῖναι τὴν πίστιν·
„πῶς γὰρ φίλῳ σοι μὴ μένοντι πιστεύσω;“

Ὁ μῦθος ἐκδιδάσκει μὴ τάχιστα πᾶσι πιστεύειν, καὶ μάλιστα τοῖς μήπω φίλοις.

101.

(*ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.*

Λύκος τις ἁδρὸς ἐν λύκοις ἐγεννήθη,
λέοντα δ' αὐτὸν ἐπεκάλουν. ὁ δ' ἀγνώμων
τὴν δόξαν οὐκ ἤνεγκε, τῶν δὲ συμφύλων
ἀποστατήσας τοῖς λέουσιν ὡμίλει.
κερδὼ δ' ἐπισκώπτουσα „Μὴ φρενωθείην"
ἔφη „τοσοῦτον, ὡς σὺ νῦν ἐτυφώθης.
„σὺ γὰρ ὡς ἀληθῶς ἐν λύκοις λέων φαίνῃ,
„ἐν δ' αὖ λεόντων συγκρίσει λύκος γίγνῃ."

Πρὸς τοὺς ἀπὸ τῶν κολάκων οὐκ ὀρθῇ κρίσει ἐπαινουμένους κἀντι θεν μέγα φρονοῦντας, ἔπειτα δὲ ἐλεγχομένους, ἑαυτοὺς ἐπιγινώσκοντας.

102.

(*ΛΕΩΝ ΒΑΣΙΛΕΥΩΝ ΔΙΚΑΙΩΣ.*)

Λέων τις ἐβασίλευεν, οὐχὶ θυμώδης
οὐδ' ὠμὸς οὐδὲ πάντα τῇ βίῃ χαίρων,
πρᾷος δὲ καὶ δίκαιος ὥς τις ἀνθρώπων.
ἐπὶ τῆς ἐκείνου, φασὶ δή, δυναστείας
τῶν ἀγρίων ἀγυρμὸς ἐγεγόνει ζῴων,
δίκας τε δοῦναι καὶ λαβεῖν παρ' ἀλλήλων.
τὰ ζῷα πάντα δ' ὡς ὑπέσχον εὐθύνας,
λύκος μὲν ἀρνί, πάρδαλις δέ γ' αἰγάγρῳ,
ἐλάφῳ δὲ τίγρις, πάντα δ' εἶχεν εἰρήνην,
ὁ πτὼξ λαγωὸς εἶπεν· „Ἀλλ' ἐγὼ ταύτην
„τὴν ἡμέραν ἀεί ποτ' ηὐχόμην, ἥτις
„καὶ τοῖς βιαίοις φοβερὰ τἀσθενῆ θήσει."

Ἔπαινον ὁ μῦθος ἔχει κριτῇ πρᾴῳ καὶ λίαν δικαίῳ.

103.

(*ΛΕΩΝ ΝΟΣΩΝ ΚΑΙ ΘΗΡΙΑ.*)

Λέων ἐπ' ἄγρην οὐκέτι σθένων βαίνειν,
πολλῷ γὰρ ἤδη τῷ χρόνῳ γεγηράκει,
κοίλης ἔσω σπήλυγγος ὡς νόσῳ κάμνων
ἔκειτο, δόλιον οὐκ ἀληθὲς ἀσθμαίνων,
φωνὴν βαρεῖαν προσποιητὰ λεπτύνων.

θηρῶν δ' ἐπ' αὐλὰς ἦλθεν ἀγγέλου φήμη,
καὶ πάντες ἤλγουν, ὡς λέοντος ἀῤῥώστου·
ἐπισκοπήσων δ' εἷς ἕκαστος εἰσῄει.
τούτους ἐφεξῆς λαμβάνων ἀμοχθήτως
κατήσθιεν· γῆρας δὲ λιπαρὸν ηὑρήκει.
σοφὴ δ' ἀλώπηξ ὑπενόησε καὶ πόῤῥω
σταθεῖσα „Βασιλεῦ, πῶς ἔχεις;" ἐπηρώτα.
κἀκεῖνος εἶπε· „Χαῖρε, φιλτάτη ζῴων,
„τί δ' οὐ προςέρχῃ, μακρόθεν δέ με σκέπτῃ;
„δεῦρο, γλυκεῖα, καί με ποικίλοις μύθοις
„παρηγόρησον ἐγγὺς ὄντα τῆς μοίρης."
„Σώζοιο·" φησίν, „εἰ δ' ἄπειμι, συγγνώσῃ·
„πολλῶν γὰρ ἴχνη θηρίων με κωλύει,
„ὧν ἐξιόντων οὐκ ἔχεις ὅ μοι δείξεις."
Μακάριος ὅστις οὐ προλαμβάνει πταίσας,
ἀλλ' αὐτὸς ἄλλων συμφοραῖς ἐπαιδεύθη.

Οὕτω τινῶν οἱ κίνδυνοι διδαχὴ εἶναι ὀφείλει τῆς ἡμῶν σωτηρίας.

104.

(ΚΥΩΝ ΚΩΔΩΝΟΦΟΡΩΝ.)

Λάθρα κύων ἔδακνε· τῷ δὲ χαλκεύσας
ὁ δεσπότης κώδωνα καὶ προσαρτήσας
πρόδηλον εἶναι μακρόθεν πεποιήκει.
ὁ κύων δὲ τὸν κώδωνα δι' ἀγορᾶς σείων
ἠλαζονεύετ'· ἀλλὰ δὴ κύων γραίη
πρὸς αὐτὸν εἶπεν· „Ὦ τάλαν, τί σεμνύνῃ;
„οὐ κόσμον ἀρετῆς τοῦτον, οὐδ' ἐπιεικείης,
„σαυτοῦ δ' ἔλεγχον τῆς πονηρίας κρούεις."

Ἔλεγχον ὁ μῦθος ἔχει τῶν οὐ καλῶς ἐφ' ἑαυτοῖς μέγα φρονούντων, ὅταν διὰ κακίαν τι πάθοιεν.

105.

(ΛΥΚΟΣ ΚΑΙ ΛΕΩΝ.)

Λύκος ποτ' ἄρας πρόβατον ἐκ μέσης ποίμνης
ἐκόμιζεν οἴκαδ'· ᾧ λέων συναντήσας
ἀπέσπασ' αὐτοῦ. καὶ λύκος, σταθεὶς πόῤῥω,

„Ἀδίκως ἀφείλω τῶν ἐμῶν" ἐκεκράγει.
λέων δὲ τερφθεὶς εἶπε τὸν λύκον σκώπτων·
„Σοὶ γὰρ δικαίως ὑπὸ φίλων ἐδωρήθη;"

Ὁ μῦθος δικαίως καὶ προσφόρως ῥηθήσεται πρὸς ἄνδρας ἀ.
ἀλλήλους αἰτιωμένους, ἐπὶ τῷ αὐτῷ πταίσματι κειμένους.

106.

(ΛΕΩΝ ΠΡΑιΟΣ.)

Λέων ποτ' ἀνδρῶν βίον ἄριστον ἐζήλου,
καὶ δὴ κατ' εὐρὺν φωλεὸν διατρίβων,
ὅσων ἀρίστην ῥειτρόφων φυὴν ἔγνω,
φιλοφρονεῖσθαι γνησίως ἐπειρᾶτο.
πολὺς δ' ὑπὸ σπήλυγγι θαμινὰ παντοίων
θηρῶν ὅμιλος ἡμέρως συνηυλίσθη·
ὁ δ' εἱστία τε κἀφίλει νόμῳ ξείνων,
ἅλις τιθεὶς ἅπασι δαῖτα θυμήρη.
φίλην δὲ κερδὼ καὶ σύνοικον εἰλήφει,
μεθ' ἧς τὰ πολλὰ μειλίχως συνεζήτει.
γέρων δέ τις πίθηκος ἦν ὁ δαιτρεύων
κρεῶν τε συσσίτοισι διανέμων μοίρας·
ὅς, εἴ τις ἦλθεν οὐχὶ τῆς συνηθείης,
ταὐτὸν παρετίθει δεσπότῃ τε κἀκείνῳ,
ὅπερ εἶχεν ὁ λέων νεοδρόμῳ λαβὼν θήρῃ·
κερδοῖ δ' ἑώλων ἔφερεν οὐκ ἴσην μοῖραν·
καὶ δή ποτ' αὐτὴν προσποιητὰ σιγῶσαν
δείπνου τε χεῖρα καὶ βορῆς ἀποσχοῦσαν,
λέων τίν' εἶχεν αἰτίην διηρώτα·
„Κερδοῖ σοφή, λάλησον ὥσπερ εἰώθεις·
„φαιδρῷ προσώπῳ δαιτός, ὦ φίλη, ψαῦσον."
ἡ δ' εἶπεν· „Ὦ φέριστε θηρίων γέννης,
„πολλῇ μερίμνῃ καρδίην διαξαίνω·
„οὐ γὰρ τὰ νῦν παρόντα μοῦνον ἀλγύνει·
„τὰ δ' ἔπειτα" φησὶ „προσκοπευμένη κλαίω.
„καθ' ἡμέραν γὰρ εἴ τις ἄλλος, εἶτ' ἄλλος
„ξένος πελάζοι, τοῦτο δ' εἰς ἔθος βαίνοι,
„τάχ' οὐδ' ἑώλων γεύσομαι κρεῶν μούνη."

Ὁ λέων δὲ τερφθεὶς ὡς λέων τε μειδήσας
εἶπεν· „πιθήκῳ ταῦτα, μηδ' ἐμοὶ μέμφου."

Ὅτι μᾶλλον ἀλγύνειν καὶ λυπεῖν οἶδεν ἀνθρώπους οὐ τὰ παρόντα μόνον, καθ' ὅσον ἤδη ἡ τῶν μελλόντων προσδοκία.

107.

(ΛΕΩΝ ΚΑΙ ΜΥΣ.)

Λέων ἀγρεύσας μῦν ἔμελλε δειπνήσειν·
ὁ δ' οἰκότριψ κλὼψ ἐγγὺς ὢν μόρου τλήμων
τοιοῖσδε μύθοις ἱκέτευε τὸν θῆρα·
„Ἐλάφους πρέπει σοι καὶ κερασφόρους ταύρους
„θηρῶντα νηδὺν σαρκὶ τῇδε πιαίνειν·
„μυὸς δὲ δεῖπνον οὐδ' ἄκρων ἐπιψαῦσαι
„χειλῶν ἀμυσχρῶν. ἀλλά, λίσσομαι, φείδου.
„ἴσως χάριν σοι τῆςδε μικρὸς ἂν θήσω."
γελάσας δ' ὁ θὴρ παρῆκε τὸν ἱκέτην ζῶντα·
καὶ δὴ φιλαγρευταῖς ἐμπεσὼν νεανίσκοις
ἐδικτυώθη καὶ σφαλοῖς ἐδεσμεύθη·
[κἀντεῦθεν ἀπεγνώκει ὁ θὴρ τὴν σωτηρίαν.]
ὁ μῦς δὲ λάθρῃ χηραμοῦ προπηδήσας
στεῤῥόν τ' ὀδοῦσι βραχυτάτοις βρόχον κείρας
ἔλυσε τὸν λέοντα, τοῦτο φῶς βλέψαι
ἐπάξιον δοὺς μισθὸν ἀντὶ ζωγρείας.
Σαφὴς ὁ μῦθος εὖ νοοῦσιν ἀνθρώποις,
σῴζειν πένητας μηδὲ τῶν ἀπελπίζειν,
εἰ καὶ λέοντα μῦς ἔσωσ' ἀγρευθέντα.

ΑΡΧΗ ΤΟΥ Μ.

ΠΡΟΟΙΜΙΟΝ.

Μῦθος μέν, ὦ παῖ βασιλέως Ἀλεξάνδρου,
Σύρων παλαιῶν ἐστιν εὕρεμ' ἀνθρώπων,
οἳ πρίν ποτ' ἦσαν ἐπὶ Νίνου τε καὶ Βήλου.
πρῶτος δέ φασιν εἶπε παισὶν Ἑλλήνων
Αἴσωπος ὁ σοφός· εἶπε καὶ Λιβυστῖνος
λόγους Κιβύσσης. ἀλλ' ἐγὼ νέῃ μούσῃ

δίδωμι, καθαρῷ χρυσίῳ χαλινώσας
τὸν μυθίαμβον, ὥσπερ ἵππον ὁπλίτην.
ὑπ' ἐμοῦ δὲ πρώτου τῆς θύρας ἀνοιχθείσης
εἰςῆλθον ἄλλοι, καὶ σοφωτέρας μούσης
γρίφοις ὁμοίας ἐκφέρουσι ποιήσεις,
μαθόντες οὐδὲν πλεῖον ἤ με γινώσκειν.
ἐγὼ δὲ λευκῇ μυθιάζομαι ῥήσει
καὶ τῶν ἰάμβων τοὺς ὀδόντας οὐ θήγω,
ἀλλ' εὖ πυρώσας, εὖ δὲ κέντρα πρηΰνας,
ἐκ δευτέρου σοι τήνδε βίβλον ἀείδω.

108.

(*ΜΥΣ ΑΡΟΥΡΑΙΟΣ ΚΑΙ ΜΥΣ ΑΣΤΙΚΟΣ.*)

Μυῶν ὁ μέν τις βίον ἔχων ἀρουραῖον,
ὁ δ' ἐν ταμείοις πλουσίοισι φωλεύων,
ἔθεντο κοινὸν τὸν βίον πρὸς ἀλλήλους.
ὁ δ' οἰκόσιτος πρότερος ἦλθε δειπνήσων
ἐπὶ τῆς ἀρούρης ἄρτι χλωρὸν ἀνθούσης·
τρώγων δ' ἀραιὰς καὶ διαβρόχους σίτου
ῥίζας, μελαίνῃ συμπεφυρμένας βώλῳ,
„Μύρμηκος“ εἶπε „ζῇς βίον ταλαιπώρου
„ἐν πυθμέσιν γῆς κρίμνα λεπτὰ βιβρώσκων·
„ἐμοὶ δ' ὑπάρχει πολλὰ καὶ περισσεύει·
„τὸ κέρας κατοικῶ πρὸς σὲ τῆς Ἀμαλθείας.
„εἴ μοι συνέλθοις, ὡς θέλεις, ἀσωτεύσῃ,
„παρεὶς ὀρύσσειν ἀσφάλαξι τὴν χώρην.“
ἀπῆγε τὸν μῦν τὸν γεηπόνον πείσας
εἰς οἶκον ἐλθεῖν ὑπό τε τοῖχον ἀνθρώπου.
ἔδειξε δ' αὐτῷ, ποῦ μὲν ἀλφίτων πλήρη,
ποῦ δ' ὀσπρίων ἦν σωρὸς ἢ πίθοι σύκων,
στάμνοι τε μέλιτος σώρακοί τε φοινίκων.
ὁ δ' ὡς ἐτέρφθη πᾶσι καὶ παρωρμήθη
καὶ τυρὸν ἦγεν ἐκ κανισκίου σύρων,
ἀνέῳξε τὴν θύραν τις· ὁ δ' ἀποπηδήσας
στεινῆς ἔφευγε δειλὸς ἐς μυχὸν τρώγλης,
ἄσημα τρίζων τόν τε πρόξενον θλίβων.
μικρὸν δ' ἐπισχών, εἶτ' ἔσωθεν ἐκκύψας,

ψαύειν ἔμελλεν ἰσχάδος Καμειραίης·
ἕτερος δ' ἐπῆλθεν ἄλλο τι προαιρήσων·
οἱ δ' ἔνδον ἐκρύβοντο. μῦς δ' ἀρουρείτης
„Τοιαῦτα δειπνῶν" εἶπε „χαῖρε καὶ πλούτει,
„καὶ τοῖς περισσοῖς αὐτὸς ἐντρύφα δείπνοις,
„ἔχων τὰ πολλὰ ταῦτα μεστὰ κινδύνων·
„ἐγὼ δὲ λιτῆς οὐκ ἀφέξομαι βώλου,
„ὑφ' ἣν τὰ κρίμνα μὴ φοβούμενος τρώγω."

Ταῦτα ῥητέον τῷ ἐν προσχήματι φιλίας κακαῖς συμβουλίαις ἀπάγειν ἡμᾶς βουλομένῳ ζωῆς ἀταράχου, καὶ κινδύνοις καθυποβάλλειν χάριν ῥεουσῶν ἡδονῶν.

109.

(ΚΑΡΚΙΝΟΣ ΚΑΙ ΜΗΤΗΡ.)

„Μὴ λοξὰ βαίνειν," ἔλεγε καρκίνῳ μήτηρ,
„ὑγρῇ τε πέτρῃ πλάγια κῶλα μὴ σύρειν."
ὁ δ' εἶπε· „Μῆτερ, ἡ διδάσκαλος, πρώτη
„ὀρθὴν ἄπελθε, καὶ βλέπων σε ποιήσω."

Ἀντίῤῥησιν ὁ μῦθος ἔχει πρὸς τοὺς ἐναντίας τοῖς ἔργοις διδασκαλίας ποιουμένους.

110.

(ΚΥΩΝ ΚΑΙ ΔΕΣΠΟΤΗΣ.)

Μέλλων ὁδεύειν τῆς κυνός τις ἑστώσης
εἶπεν· „Τί χάσκεις; πάντ' ἕτοιμά σοι ποίει·
„μετ' ἐμοῦ γὰρ ἥξεις." ἡ δὲ κέρκον οὐραίης
ἄρασά φησι· „Πάντ' ἔχω· σὺ δὲ βραδύνεις."

Πρὸς ἄνδρα ἀπαρασκεύαστον [πρὸς] τὸν ἐν ἑτοιμασίᾳ ὄντα [καὶ] περὶ συνοδοιπορίας κατεπείγοντα ὁ λόγος εὔκαιρος.

111.

(ΟΝΟΣ ΑΛΑΣ ΦΕΡΩΝ.)

Μικρέμπορός τις ὄνον ἔχων ἐβουλήθη,
τοὺς ἅλας ἀκούων παρὰ θάλασσαν εὐώνους,
τούτους πρίασθαι· φορτίσας τε γενναίως
τὸν ὄνον κατῆγε. τῆς δ' ὁδοῦ προκοπτούσης,
ὤλισθεν ἄκων εἴς τι ῥεῖθρον ἐξαίφνης,

καὶ συντακέντων τῶν ἁλῶν ἐλαφρύνθη·
ῥᾴων δ' ἀνέστη καὶ παρῆν ἀμοχθήτως
εἰς τὴν μεσόγειον. τοὺς ἅλας δὲ πωλήσας
πάλιν γομώσων τὸν ὄνον ἦγε, καὶ πλείω
ἔτ' ἐπετίθει τὸν φόρτον. ὡς δὲ μοχθήσας
διέβαινε τὸν ῥοῦν, οὗπερ ἦν πεσὼν πρώην,
ἑκὼν κατέπεσε, καὶ πάλιν γόμους τήξας
κούφως ἀνέστη γαῦρος ὥς τι κερδήσας.
ὁ δ' ἔμπορος τέχνην ἐπεὶ νοεῖ, πλείους
σπόγγους κατῆγεν ὕστερον πολυτρήτους
ἐκ τῆς θαλάσσης, τούς θ' ἅλας ἐμεμισήκει.
ὁ δ' ὄνος πανούργως, ὡς προῆλθε τῷ ῥείθρῳ,
ἑκὼν κατέπεσεν· ἀθρόως δὲ τῶν σπόγγων
διαβραχέντων πᾶς ὁ φόρτος ὠγκώθη,
βάρος δὲ διπλοῦν ἦλθε βαστάσας νώτοις.
Πολλάκις ἐν οἷς τις ηὐτύχησε καὶ πταίει.

112.

(ΜΥΣ ΚΑΙ ΤΑΥΡΟΣ.)

Μῦς ταῦρον ἔδακεν. ὁ δ' ἐδίωκεν ἀλγήσας
τὸν μῦν· φθάσαντος δ' εἰς μυχὸν φυγεῖν τρώγλης,
ὤρυσσεν ἑστὼς τοῖς κέρασι τοὺς τοίχους,
ἕως κοπωθεὶς ὀκλάσας ἐκοιμήθη
παρὰ τὴν ὀπὴν ὁ ταῦρος. ἔνθεν ἐκκύψας
ὁ μῦς ἐφέρπει καὶ πάλιν δακὼν φεύγει.
ὁ δ' ἐξαναστὰς οὐκ ἔχων ὃ ποιήσει
διηπορεῖτο· τῷ δ' ὁ μῦς ἐπιτρίξας·
„Οὐχ ὁ μέγας αἰεὶ δυνατός. ἔσθ', ὅπου μᾶλλον
„τὸ μικρὸν εἶναι καὶ ταπεινὸν ἰσχύει."

113.

(ΠΟΙΜΗΝ ΚΑΙ ΚΥΩΝ.)

Μάνδρης ἔσω τις πρόβατα συλλέγων δείλης,
κνηκὸν μετ' αὐτῶν λύκον ἔμελλε συγκλείειν.
ὁ κύων δ' ἰδὼν πρὸς αὐτὸν εἶπε· „Πῶς σπεύδεις
„τὰ πρόβατα σῶσαι, τοῦτον εἰσάγων ἡμῖν;"
Ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἀσφαλὴς ἡ μετὰ τῶν κακῶν συνοικία.

114.

(ΛΥΧΝΟΣ.)

Μεθύων ἐλαίῳ λύχνος ἑσπέρης ηὔχει
πρὸς τοὺς παρόντας, ὡς ἑωσφόρου κρείσσων
λάμπειν ἅπασιν ἐκπρεπέστατον φέγγος.
ἀνέμου δὲ συρίσαντος εὐθὺς ἐσβέσθη
πνοῇ ῥαπισθείς. ἐκ δὲ δευτέρης ἅπτων
εἶπέν τις αὐτῷ· „Φαῖνε, λύχνε, καὶ σίγα·
„τῶν δ' ἀστέρων τὸ φέγγος οὐκ ἀποθνήσκει."

Ὁ μῦθος ἡμᾶς διδάσκει μηδαμῶς φυσιοῦσθαι ἐπὶ τοῖς τοῦ βίου λαμπροῖς, ἐπισταμένους μηδὲν εἶναι μόνιμον.

ΑΡΧΗ ΤΟΥ Ν.

115.

(ΧΕΛΩΝΗ ΚΑΙ ΑΕΤΟΣ.)

Νωθὴς χελώνη λιμνάσιν ποτ' αἰθυίαις
λάροις τε καὶ κήϋξιν εἶπεν ἀγρώσταις·
„Κἀμὲ πτερωτὴν εἴθε τις πεποιήκοι!"
τῇ δ' ἐκ τύχης ἔλεξεν αἰετὸς ταῦτα·
„Πόσον, χέλυμνα, μισθὸν αἰετῷ δώσεις,
„ὅστις σ' ἐλαφρὸν καὶ μετάρσιον θήσω;"
„Τὰ τῆς Ἐρυθρῆς πάντα δῶρά σοι δώσω."
„Τοιγὰρ διδάξω," φησίν. ὑπτίην δ' ἄρας
ἔκρυψε νέφεσιν, ἔνθεν εἰς ὄρος ῥίψας
ἤραξεν αὐτῆς οὖλον ὄστρακον νώτων.
ἡ δ' εἶπεν ἐκψύχουσα· „Σὺν δίκῃ θνήσκω·
„τί γὰρ νεφῶν μοι καὶ τίς ἡ πτερῶν χρεία,
„τῇ καὶ χαμᾶζε δυσκόλως προβαινούσῃ;"

116.

(ΑΝΗΡ ΚΑΙ ΜΟΙΧΟΣ.)

Νυκτὸς μεσούσης ᾖδε παῖς τις εὐφώνως.
γυνὴ δ' ἀκούει τοῦδε κἀξαναστᾶσα
θυρίδων προκύπτει, καὶ βλέπουσα τὸν παῖδα

λαμπρᾶς σελήνης ἐν φάει καλὸν λίην,
τὸν ἄνδρ' ἑαυτῆς καταλιποῦσα κοιμᾶσθαι,
κάτω μελάθρων ἦλθε καὶ θύρης ἔξω
ἐλθοῦσ' ἐποίει τὴν προθυμίην πλήρη.
ὡνὴρ δὲ ταύτης ἐξανίστατ' ἐξαίφνης,
ζητῶν ὅπου 'στί, κοὐκ ἰδὼν δόμων εἴσω
μηδὲν χανών τε καὐτὸς ἦλθεν εἰς οἶμον,
καὶ τῇ συνεύνῳ φησί· „Μηδὲν ἐκπλήσσου,
„τὸν παῖδα δ' ἡμῶν πεῖσον εἰς δόμους εὕδειν."
ὃν καὶ λαβὼν παρῆγεν. εἶτα κἀκεῖνος,
ἄμφω θελόντων δρᾶν τι, τῇδ' ἐραθύμει.
Τουτὶ μὲν οὕτως· ἔμφασις δὲ τοῦ μύθου,
κακὸν ἐπιχαίρειν ὅταν ἔχῃ τις ἐκτῖσαι.

117.

(ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΕΡΜΗΣ.)

Νεώς ποτ' αὐτοῖς ἀνδράσιν βυθισθείσης,
ἰδών τις ἔλεγεν ἄδικα τοὺς θεοὺς κρίνειν·
ἑνὸς γὰρ ἀσεβοῦς ἐμβεβηκότος πλοίῳ,
πολλοὺς σὺν αὐτῷ μηδὲν αἰτίους θνήσκειν.
καὶ ταῦθ' ὁμοῦ λέγοντος, οἷα συμβαίνει,
πολλῶν ἐπ' αὐτὸν ἑσμὸς ἦλθε μυρμήκων,
σπεύδοντες ἄχνας πυρίνας ἀποτρώγειν.
ὑφ' ἑνὸς δὲ δηχθεὶς συνεπάτησε τοὺς πλείους.
Ἑρμῆς δ' ἐπιστὰς τῷ τε ῥαβδίῳ παίων
„Εἶτ' οὐκ ἀνέξῃ" φησί „τοὺς θεοὺς εἶναι
„ὑμῶν δικαστάς, οἷος εἶ σὺ μυρμήκων;"

Ὁ λόγος διδάσκει ἡμᾶς μηδὲν ψέγειν τὰς τοῦ θεοῦ περὶ τοὺς ι
πους ἀκαταλήπτους οἰκονομίας, κἂν ἄδικοι τοῖς ἀπαιδεύτοις δοκοῖεν

ΑΡΧΗ ΤΟΥ Ξ.

118.

(ΧΕΛΙΔΩΝ ΔΙΚΑΣΤΑΙΣ ΣΥΝΟΙΚΟΥΣΑ.)

θὴ χελιδών, ἡ πάροικος ἀνθρώπων,
; καλιὴν ηὐθέτιζεν ἐν τοίχῳ,
υ γερόντων οἶκος ἦν δικαστήρων·
ῖ νεοσσῶν ἑπτὰ γίνεται μήτηρ,
ω πτερίσκοις πορφυροῖς ἐπανθούντων.
; δὲ τούτους ἑρπύσας ἀπὸ τρώγλης
ντας ἑξῆς ἔφαγεν. ἡ δὲ δειλαίη
ἴων ἀώρων συμφορὰς ἀπεθρήνει,
μοι" λέγουσα, „τῆς ἐμῆς ἐγὼ μοίρης.
ὁ νόμοι γὰρ καὶ θέμιστες ἀνθρώπων,
ἐν χελιδὼν ἠδικημένη φεύγει."

δικαστῶν ὁ λόγος, βοηθεῖν δυναμένων τοῖς μηδὲν κακὸν πράξασι,
ς ὑπὸ μειζόνων ἀδικουμένοις μηδεμίαν ἀνάληψιν παρεχομένων.

119.

(ΑΓΑΛΜΑ ΕΡΜΟΥ.)

νόν τις Ἑρμῆν εἶχεν· ἦν δὲ χερνήτης·
δων δὲ τούτῳ καὶ καθ' ἡμέραν θύων
σσε φαύλως. τῷ θεῷ δ' ἐθυμώθη·
ὶ δ' ἀπεκρότησε τοῦ σκέλους ἄρας.
ὸς δὲ κεφαλῆς ἐῤῥύη καταγείσης,
υλλέγων ἄνθρωπος εἶπεν· „Ἑρμεία,
ιός τίς ἐσσι καὶ φίλοισιν ἀγνώμων,
προσκυνοῦντας οὐδὲν ὠφέλεις ἥμας,
ιθοῖς δὲ πολλοῖς ὑβρίσαντας ἠμείψω.
εἰς σὲ καινὴν εὐσέβειαν οὐκ ᾔδειν."
τοὺς θεοὺς Αἴσωπος ἐμπλέκει μύθοις,
όμενος ἡμᾶς νουθετεῖν πρὸς ἀλλήλους·
ν οὐδὲν ἕξεις σκαιὸν ἄνδρα τιμήσας,
άσας δ' ἂν αὐτὸν ὠφεληθείης.

ΑΡΧΗ ΤΟΥ Ο.

120.

(ΒΑΤΡΑΧΟΣ ΙΑΤΡΟΣ.)

Ὁ τελμάτων ἔνοικος, ὁ σκιῇ χαίρων,
ὁ ζῶν ὀρυκτοῖς βάτραχος παρ᾽ εὐρίποις,
εἰς γῆν παρελθὼν ἔλεγε πᾶσι τοῖς ζῴοις
ἰατρὸς εἶναι φαρμάκων ἐπιστήμων,
οἵων τάχ᾽ οὐδεὶς οἶδεν, οὐδ᾽ ὁ Παιήων
ὃς Ὄλυμπον οἰκεῖ καὶ θεοὺς ἰατρεύει.
„Καὶ πῶς“ ἀλώπηξ εἶπεν „ἄλλον ἰήσῃ,
„ὃς σαυτὸν οὕτω χωλὸν ὄντα μὴ σῴζεις;“.

Πρὸς ἄνδρα ἀμαθῆ καὶ ἀπαίδευτον, ἄλλους παιδεύειν ἐπαγγελλόμε

121.

(ΟΡΝΙΣ ΚΑΙ ΑΙΛΟΥΡΟΣ.)

Ὄρνις ποτ᾽ ἠσθένησε. τῇ δὲ παρκύψας
αἴλουρος εἶπε· „Πῶς ἔχεις; τίνων χρῄζεις;
„ἐγὼ παρέξω πάντα σοι· μόνον σῷζου.“
ἡ δ᾽ „ἂν ἀπέλθῃς,“ εἶπεν, „οὐκ ἀποθνήσκω.“

Πρὸς τοὺς πονηρᾷ διαθέσει χρηστότητα ἐπιδεικνυμένους ὁ λόγος καιρος.

122.

(ΟΝΟΣ ΚΑΙ ΛΥΚΟΣ.)

Ὄνος πατήσας σκόλοπα χωλὸς εἱστήκει·
λύκον δ᾽ ἰδὼν παρόντα καὶ σαφῆ δείσας
ὄλεθρον οὕτως εἶπεν· „Ὦ λύκε, θνήσκω,
„μέλλω δ᾽ ἀποπνεῖν· σοὶ δὲ συμβαλὼν χαίρω.
„σὺ μᾶλλον ἢ γὺψ ἢ κόραξ με δειπνήσεις.
„χάριν δέ μοι δὸς ἀβλαβῆ τε καὶ κούφην,
„ἐκ τοῦ ποδός μου τὴν ἄκανθαν εἰρύσσας,
„ὥς μου κατέλθῃ πνεῦμ᾽ ἀναλγὲς εἰς Ἅιδου.“
κἀκεῖνος εἰπὼν „Χάριτος οὐ φθονῶ ταύτης“

ὀδοῦσιν ἄκροις σκόλοπα θερμὸν ἐξῄρει.
ὁ δ' ἐκλυθεὶς πόνων τε κἀνίης πάσης
τὸν κνηκίαν χάσκοντα λακτίσας φεύγει,
ῥῖνας, μέτωπα, γομφίους τ' ἀλοιήσας.
„Οἴμοι" λύκος „τάδ'" εἶπε „σὺν δίκῃ πάσχω.
„τί γὰρ ἄρτι χωλοὺς ἠρξάμην ἰατρεύειν,
„μαθὼν ἀπ' ἀρχῆς οὐδὲν ἢ μαγειρεύειν;"

Ὅτι οἱ τοῖς μηδὲν προσήκουσιν ἐπιτηδεύειν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦντες βλάβην ἑαυτοῖς ἐπιφέρουσι.

123.

(ΟΡΝΙΣ ΧΡΥΣΟΤΟΚΟΣ.)

Ὄρνιθος ἀγαθῆς ᾠὰ χρυσᾶ τικτούσης,
θησαυρὸν ᾠεθ' ὁ δεσπότης ἀνευρήσειν
ἐν τῇσδε πλεῖστον ἐγκάτοις ἀγερθέντα·
κἄκτεινε ταύτην, ἀθρόον μέλλων λήψειν.
εὑρὼν δ' ὅμοια τἄνδον ὀρνέοις ἄλλοις
ᾤμωξε πολλὸν ἐλπίδων ἀτευκτήσας·
πλείονος ἔρως γὰρ ἐστέρησε τῶν ὄντων.

124.

(ΟΡΝΙΘΟΘΗΡΑΣ, ΠΕΡΔΙΞ ΚΑΙ ΑΛΕΚΤΟΡΙΣΚΟΣ.)

Ὀρνιθοθήρᾳ φίλος ἐπῆλθεν ἐξαίφνης,
μέλλοντι θύμβραν καὶ σέλινα δειπνήσειν.
ὁ δὲ κλωβὸς εἶχεν οὐδέν· οὐ γὰρ ἠγρεύκει.
ὥρμησε δὴ πέρδικα ποικίλον θύσων,
ὃν ἡμερώσας εἶχεν εἰς τὸ θηρεύειν.
ὁ δ' αὐτὸν οὕτως ἱκέτευε μὴ κτεῖναι.
„τὸ λοιπὸν" εἶπε „δικτύῳ τί ποιήσεις,
ὅταν κυνηγῇς; τίς δέ σοι συναθροίσει
εὐωπὸν ἀγέλην ὀρνέων φιλαλλήλων;
τίνος μελῳδοῦ πρὸς τὸν ἦχον ὑπνώσεις;"
ἀφῆκε τὸν πέρδικα, καὶ γενειήτην

ἀλεκτορίσκον συλλαβεῖν ἐβουλήθη.
ὁ δ' ἐκ πεταύρου κλαγγὸν εἶπε φωνήσας·
„πόθεν μαθήσῃ πόσσον εἰς ἕω λείπει·
τὸν ὠρόμαντιν ἀπολέσας με; πῶς γνώσῃ
πότ' ἐννυχεύει χρυσότοξος Ὠρίων;
ἔργων δὲ τίς σε πρωϊνῶν ἀναμνήσει,
ὅτε δροσώδης ταρσός ἐστιν ὀρνίθων;"
κἀκεῖνος εἶπεν· „οἶσθα χρησίμους ὥρας·
ὅμως δὲ δεῖ σχεῖν τὸν φίλον, τί δειπνήσει."

Ὅτι τῷ ἀνδρὶ δουλεύειν ἐπιθυμίαις εἰθισμένῳ οὐδεὶς λόγος ἰσχὺ πρὸς τὸ μὴ πράττειν ἀεὶ τὰ καθ' ἡδονήν.

125.

(ΟΝΟΣ ΠΑΙΖΩΝ.)

Ὄνος τις ἀναβὰς ἐπὶ [illegible] δῶμα καὶ παίζων
τὸν κέραμον ἔθλα, καί τις αὐτὸν ἀνθρώπων
ἐπιδραμὼν κατῆγε τῷ ξύλῳ παίων.
ὁ δ' ὄνος πρὸς αὐτόν, ὃς τὸ νῶτον ἠλοία,
„καὶ μὴν πίθηκος ἐχθές" εἶπε „καὶ πρώην
ἔτερπεν ὑμᾶς αὐτὸ τοῦτο ποιήσας."

126.

(ΜΗΝΑΓΥΡΤΑΙ.)

Γάλλοις ἀγύρταις εἰς τὸ κοινὸν ἐπράθη
ὄνος τις οὐκ εὔμοιρος, ἀλλὰ δυσδαίμων,
(ὅστις φέρῃ πτωχοῖσι καὶ πανουργοῖσιν
πείνης ἄκος δίψης τε καὶ τὰ τῆς τέχνης.)
[illegible]οι δὲ κύκλῳ πᾶσαν ἐξ ἔθους κώμην
[illegible]όντες ἔλεγον· . . „τίς γὰρ ἀγροίκων
[illegible] οἶδεν Ἄττιν λευκόν, ὡς ἐπηρώθη;
τίς οὐκ ἀπαρχὰς ὀσπρίων τε καὶ σίτων
ἁγνῷ φέρων δίδωσι τυμπάνῳ Ῥείης;
* * * * * *

127.

(ΖΕΥΣ ΚΡΙΤΗΣ.)

Ὁ Ζεὺς ἁμαρτίας μὲν ὥρισ' ἀνθρώπων
πάσας ἐν ὀστράκοισιν Ἑρμείην γράψαι,
ἐκέλευσε δ' εἰς κιβωτὸν αὐτὰ σωρεύειν,
ὅπως ἑκάστου τὰς δίκας ἀναπράσσῃ.
τῶν ὀστράκων δὲ κεχυμένων ἐπ' ἀλλήλοις
τὸ μὲν βράδιον, τὸ δὲ τάχιον ἐμπίπτει
εἰς τοῦ Διὸς τὰς χεῖρας, εἴποτ' εὐθύνοι.
Τῶν οὖν πονηρῶν οὐ προσῆκε θαυμάζειν,
ἂν θᾶσσον ἀδικῶν ὀψέ τις κακῶς πράσσῃ.

128.

(ΟΙΣ ΠΡΟΣ ΝΟΜ[illegible]ΑΙ ΚΥΩΝ.)

„Οἴς τις εἶπε πρὸς νομῆα το[illegible]α·
„κείρεις μὲν ἡμᾶς καὶ πόκους ἔχεις κέρσας,
τὸ γάλα δ' ἀμέλγοντ' ἐστί σοι φίλον πῆξαι,
ἡμῶν δὲ τέκνα μῆλά σοι περισσεύει.
πλέον οὐδὲν ἡμῖν, ἀλλὰ καὶ τροφὴ γαίης
ἅπασ' ἐν ὄρεσιν εὐθαλές τι γεννᾷ σοι
ὡραῖα βοτάνη καὶ δρόσου γεμισθεῖσα.
φέρβεις δὲ ταύτην τὴν κύν' ἐν μέσοις ἥμιν,
τρέφων ὁποῖα σαυτὸν εὐθαλεῖ σίτῳ."
ἤκουσε ταῦθ' ὡς ἡ κύων, ἔφη τοῖα·
„εἰ μὴ παρήμην κἀν μέσοις ἐπωλεύμην,
οὐκ ἂν ποθ' ὑμεῖς ἔσχετ' ἄφθονον ποίην·
ἐγὼ δὲ περιτρέχουσα πάντα κωλύω
θηρήτορα ληστὴν καὶ λύκον διωκτῆρα."

Ὁ μῦθος πρὸς τοὺς τῇ τῶν πλησίον διαφθονουμένους εὐημ[illegible]τίν, καὶ ὑπ' αὐτῶν ἐκείνων τὰ μέγιστα ὠφελοῦνται.

129.

(ΟΝΟΣ ΚΑΙ ΚΥΝΙΔΙΟΝ.)

Ὄνον εἶχέ τις καὶ κυνίδιον Μελιταῖον·
τὸ κυνίδιον δ' ἔχαιρεν εὐρύθμως παῖζον,
τὸν δεσπότην τε ποικίλως περισκαῖρον.
κἀκεῖνος ἀντέχαιρεν αὔτ' ἔχων κόλποις.
ὁ δέ γ' ὄνος αὖτ' ἤληθε νύκτα μὲν πᾶσαν
πυρὸν φίλης Δήμητρος, ἡμέρας δ' ὕλην
κατῆγ' ἀφ' ὕψους, ἐξ ἀγροῦ θ' ὅσων χρεία.
καὶ νῦν ἐν αὐλῇ παρὰ φάτναισι δεσμώτης
ἔτρωγε κριθῆς χόρτον, ὥσπερ εἰώθει.
δηχθεὶς δὲ θυμῷ καὶ περισσὸν οἰμώξας,
ἐν ἁβρότητι σκύμνον εἰσορῶν πάσῃ,
φάτνης ὀνείης δεσμὰ [illegible]άλους ῥήξας
ἐς μέσσον αὐλῆς ἦλθ[illegible]ρα λακτίζων.
σαίνων δ' ὁποῖα καὶ [illegible]ῶν περισκαίρειν
τὴν μὲν τράπεζαν ἐς μέσον βαλὼν ἔθλα,
ἅπαντα δ' εὐθὺς ἠλόησε τὰ σκεύη,
δειπνοῦντα δ' ἐγγὺς ἦλθε δεσπότην κρούσων
νώτοις ἐπεμβάς· ἐσχάτου δὲ κινδύνου
θεράποντες ἐν μέσοισι (τοῦτον) ὡς εἶδον,
*ἐσάωσαν * * * **
κρανέης δὲ κορύναις ἄλλος ἄλλοθεν κρούων
ἔκτεινον, ὡς δὴ καὐτὸς ὕστατ' ἐκπνείων
„ἔτλην" ἔλεξεν „οἷα χρή με δυσδαίμων·
τί γάρ ποτ' οὐρήεσσιν οὐκ ἐπωλεύμην,
βαιῷ δ' ὁ μέλεος κυνιδίῳ παρισούμην;"

Ὅτι οὐ πάντες πρὸς πάντα ἴσοι πεφύκασι, κἂν φθόνῳ ἀλαίωνται.

130.

(ΤΕΤΤΙΞ ΚΑΙ ΜΥΡΜΗΞ.)

Χειμῶνος ὥρῃ σῖτον ἐν μυχοῦ σύρων
ἔψυχε μύρμηξ, ὃν θέρους σεσωρεύκει.
τέττιξ δὲ τοῦτον ἱκέτευσε λιμώττων,
δοῦναί τι κἀυτῷ τῆς τροφῆς, ὅπως ζήσῃ.
„„τί οὖν ἐποίεις“ φησί „τῷ θέρει τούτῳ;“
„„οὐκ ἐσχόλαζον, ἀλλὰ διετέλουν ᾄδων.“
„„γελάσας δ' ὁ μύρμηξ, τόν τε πυρὸν ἐγκλείων,
„„χειμῶνος ὀρχοῦ“ φησίν „εἰ θέρους ᾖσας.“
Κρεῖττον τὸ φροντίζειν χρεῶν ἀναγκαίων
ἢ τὸ προσέχειν νοῦν τέρψεσίν τε καὶ κώμοις.

131.

„Ὄνῳ τις ἐπιθεὶς ξόανον ἠ[illegible]της.

132.

Σοφῆς ἀράχνης ἱστὸν εὗρε κωλώτης,
καὶ λεπτὸν ἐνέδυ φᾶρος ἐκτεμὼν τοίχου.

133.

Χὤπως ἔχῃ τι βουκόλημα τῆς λύπης,
ἀνέθηκε τοίχοις ποικίλας γραφὰς ζῴων.

134.

„Ἁ σοι πέπρωται, ταῦτα τλῆθι γενναίως,
καὶ μὴ σοφίζου· τὸ χρεὼν γὰρ οὐ φεύξῃ.

135.

Ταύτης ἀκούσας μικρὰ τιττιβιζούσης.

136.

Εἰ μὴ γὰρ ὑμεῖς στελεὰ πάντ' ἐγεννᾶτε,
οὐκ ἂν γεωργὸς πέλεκυν ἐν δόμοις εἶχεν.

* 137.

Ἐμοῖς πτεροῖς ἔγωγε νῦν καταβλήθην.

138.

Λίβυσσα γέρανος ἠδὲ ταὼς εὐπήληξ
χλωρὴν ἀεὶ βόσκοντο χείματος ποίην.

139.

Οὔπω δὲ καιρός ἐστιν ἤϊα λύειν.

POETAE MELICI.

I.

T E R P A N D E R.

ΕΙΣ ΔΙΑ.

1.

Ζεῦ παντων ἀρχά, πάντων ἁγήτωρ,
Ζεῦ, σοὶ πέμπω ταύταν ὕμνων ἀρχάν.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

2.

Ἀμφί μοι αὖτις ἄναχθ᾽ ἑκατηβόλον
ἀειδέτω φρήν.

3.

Σοὶ δ᾽ ἡμεῖς τετράγηρυν ἀποστέρξαντες ἀοιδὰν
ἑπτατόνῳ φόρμιγγι νέους κελαδήσομεν ὕμνους.

4.

Ἔνθ᾽ αἰχμά τε νέων θάλλει καὶ μῶσα λίγεια
καὶ δίκα εὐρυάγυια, καλῶν ἐπιτάρροθος ἔργων.

II.

A L C M A N *).

ΥΜΝΟΣ ΕΙΣ ΔΙΑ ΛΥΚΑΙΟΝ. 1—7.

1. [1.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏓ –́ ⏑ – ⏓ – ⏓ –́ ⏑ – ⏓

Μῶσ᾽ ἄγε, Μῶσα λίγεια πολυμμελὲς

---

*) Numeri adiecti sunt editionis Welckerianae.

αἰεναοιδὲ μέλος
νεοχμὸν ἄρχε παρσένοις ἀείδεν.

2. [31.]

. . . . . Ἐγὼ δέ γ' ἀείσομαι
ἐκ Διὸς ἀρχομένα.

3. [78.]

Ὑμέ τε καὶ σφετέρως
ἵππως . . . . . .

4. [2.]

Καὶ ναὸς ἁγνᾶς εὐπύργω Σεράπνας.

* 6.

Χερσόνδε κωφὸν ἐν φύκεσσι πίτνει.

7. [6.]

Ἁ Μῶσα κέκληγ', ἁ λίγεια Σειρήν.

ΥΜΝΟΣ ΕΙΣ ΔΙΟΣΚΟΥΡΟΥΣ. 8—14.

8. [3.]

⏓ ́ – ⏑ – ⏓ ́ – ⏑ – – ́ – ⏑ – ⏓ ́ – ⏑ –
́ – ⏑ ⏑ – – ́ – ⏑ . . .

Κάστωρ τε πώλων ὠκέων δματῆρες, ἱππόται σοφοί,
καὶ Πολυδεύκης κυδρός.

* 9. [66.]

Καὶ κῆνος ἐν σάλεσσι πολλοῖς ἥμενος μάκαρς ἀνήρ.

(ΕΙΣ ΗΡΑΝ.)

15. [29.]

Καὶ τὶν εὔχομαι φέροισα
τόνδ' ἑλιχρύσω πυλεῶνα
κὴρατῶ κυπαίρω.

(ΕΙΣ ΑΠΟΛΛΩΝΑ.)

16. [67.]

Ἐμέ, Λατοΐδα, τέο δαυχνοφόρον.

ΕΙΣ ΑΡΤΕΜΙΝ.

* 17. [113.]

Ἐπαμμένα πέρι δέρματα θηρῶν.

ΕΙΣ ΑΦΡΟΔΙΤΑΝ.

18. [33.]

Κύπρον ἱμερτὰν λιποῖσα καὶ Πάφον περιῤῥύταν.

(Π Α Ι Α Ν.)

19. [37.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑
–́ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑
⏑ –́ – – – ⏑ ⏑ – –

Φοίναις δὲ καὶ ἐν θιάσοισιν
ἀνδρείων παρὰ δαιτυμόνεσσιν
πρέπει παιᾶνα κατάρχειν.

---

20 [11.]

– –́ ⏑ – ⏑ –́ ⏑ – ⏑
–́ ⏑ – ⏑ ⏖́ ⏑ – ⏑
–́ ⏑ – ⏑ –́ ⏑ –
– ⏖́ ⏑ – ⏑ –́ ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ – –

Οὐκ εἷς ἀνὴρ ἄγροικος οὐδέ
σκαιὸς οὐδὲ παρὰ σοφοῖσιν
οὐδὲ Θεσσαλὸς γένος
οὐδ' Ἐρυσιχαῖος οὐδὲ ποιμήν,
ἀλλὰ Σαρδίων ἀπ' ἀκρᾶν.

21. [12.]

Οὔ μ' ἔτι, παρθενικαὶ μελιγάρυες ἱμερόφωνοι,
γυῖα φέρειν δύναται· βάλε δὴ βάλε κηρύλος εἴην,
ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτῆται
νηλεγὲς ἦτορ ἔχων, ἁλιπόρφυρος εἴαρος ὄρνις.

22. [13.]

Πολλαλέγων ὄνυμ' ἀνδρί, γυναικὶ δὲ Πασιχάρηα.

23.

Ζεῦ πάτερ, αἰ γὰρ ἐμὸς πόσις εἴη.

24. [21.]

Λῦσαν δ' ἄπρακτα νεανίδες, ὥστ'
ὄρνεις ἱέρακος ὑπερπταμένω.

25. [23.]

Καί ποκά τοι δώσω τρίποδος κύτος,
ᾧ κ' ἔνι . . . . . λε' ἀγείρῃς·
ἀλλ' ἔτι νῦν γ' ἄπυρος, τάχα δὲ πλέος
ἔτνεος, οἷον ὁ παμφάγος Ἀλκμὰν
ἠράσθη χλιερὸν πεδὰ τὰς τροπάς·
οὔτι γὰρ ἠῢ τετυγμένον ἔσθει,
ἀλλὰ τὰ κοινὰ γάρ, ὥσπερ ὁ δᾶμος,
ζατεύει.

26. [25.]

Πολλάκι δ' ἐν κορυφαῖς ὀρέων, ὅκα
θεοῖσιν ἅδῃ πολύφοινος ἑορτά,
χρύσεον ἄγγος ἔχοισα μέγαν σκύφον,
οἷά τε ποιμένες ἄνδρες ἔχουσιν,
χερσὶ λεόντειον γάλα θεῦσα
τυρὸν ἐτύρησας μέγαν ἄτρυφον
ἀργύφεόν τε.

* 27. [14.]

Ἕρπει γὰρ ἄντα τῷ σιδάρῳ τὸ καλῶς κιθαρίσδειν.

28. A. [26].

Ἔρος με δαὖτε Κύπριδος ἕκατι
γλυκὺς κατείβων καρδίαν ἰαίνει.

28 B. [27.]

–́ ∪ – – –́ ∪ – ∪ –́ ∪́
–́ ∪ – ∪ –
x̲ – –́ ∪ ∪ – ∪ –

Τοῦθ' ἀδεᾶν Μωσᾶν ἔδειξε δῶρον
μάκαιρα παρθένων
ἁ ξανθὰ Μεγαλοστράτα.

29. [34.]

'Αφροδίτα μὲν οὐκ ἔστι, μάργος δ' Ἔρως οἷα παῖς παίσδει
ἄκρ' ἐπ ἄνθη καβαίνων, ἅ μή μοι θίγῃς, τῶ κυπαιρίσκω.

30. [30.]

–́ ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ – –

Χρύσεον ὅρμον ἔχων ῥαδινᾶν πετάλοισι καλχᾶν.

31. [50.]

Δύςπαρις, αἰνόπαρις, κακὸν Ἑλλάδι βωτιανείρῃ.

32. [51.]

Καί ποτ' Ὀδυσσῆος ταλασίφρονος ὦαθ' ἑταίρων
Κίρκη ἐπαλείψασα.

33. [82.]

Τίς δ' ἄν, τίς ποκα ῥᾶ ἄλλω νόον ἀνδρὸς ἐπίσποι;

34. [124.]

Καὶ ποικίλον ἶκα, τὸν ὀφθαλμῶν
ἀμπελίνων ὀλετῆρα.

[36. 4.]

Μῶσ' ἄγε, Καλλιόπα, θύγατερ Διός,
ἄρχ' ἐρατῶν ἐπέων, ἐπὶ δ' ἵμερον
ὕμνῳ καὶ χαρίεντα τίθει χορόν.

37. [40.]

Πάρ θ' ἱερὸν σκόπελον παρά τε Ψύρα.

38. [74.]

Εἴπατέ μοι τάδε, φῦλα βροτήσια.

39. [47.]

Οἷα Διὸς θυγάτηρ
ἔρσα τρέφει καὶ Σελάνας [δίας].

40. [64.]

Ταῦτα μὲν ὡς ἂν ὁ δᾶμος ἅπας.

41. [60.]

Μέγα γείτονι γείτων.

42. [65.]

Οὐ γὰρ ἔγωνγα, ἄνασσα, Διὸς θύγατερ.

* 44.

Τεὶ γὰρ Ἀλέξανδρος δάμασεν.

* 46. [79.]

Σφεὰ δὲ προτὶ γούνατα πίπτω.

47.

Ἔχει μ' ἄχος, ὦ ὀλὲ δαῖμον.

48. [80.]

Τῷ δὲ γύνα ταμία σφεᾶς ἔειξε χώρας.

49. [81.]

Σφοῖς ἀδελφιδέοις
κᾶρα καὶ φόνον.

* 50.

Μηδέ μ' ἀείδην ἀπέρυκε.

51. [123.]

– –́ ∪ ∪ – ∪ ∪ – –
– –́ ∪ – – –́ ∪ . . . .

Ῥίπας, ὄρος ἀνθέον ὕλᾳ,
Νυκτὸς μελαίνας στέρνον.

52. [5.]

–́ ∪ ∪ – ∪ ∪ ⏓
–́ ∪ ∪ – ∪͡∪́ ∪ – ∪ –

Μῶσα, Διὸς θύγατερ,
ὠρανίαφι λίγ᾽ ἀείσομαι.

53. [10.]

⏒ – –́ ∪ ∪ – ∪ ∪ – ∪ – ∪ – ⏓
–́ ∪ – ∪ –́ ∪ – –
⏒ ∪ –́ ∪ ∪ – ∪ ∪ – ∪ – ∪ – ∪
– –́ ∪ – –́́ – –́ ∪ – ∪ – –
– –́ ∪ ∪ –́ ∪ ∪ – ∪ ∪ – ∪ ⏓
⏒ – –́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ –

Εὕδουσιν δ᾽ ὀρέων κορυφαί τε καὶ φάραγγες,
πρώονές τε καὶ χαράδραι,
φύλλα θ᾽ ἑρπετά θ᾽ ὅσσα τρέφει μέλαινα γαῖα,
θῆρές τ᾽ ὀρεσκῷοι καὶ γένος μελισσᾶν
καὶ κνώδαλ᾽ ἐν βένθεσι πορφυρέας ἁλός·
εὕδουσιν δ᾽ οἰωνῶν φῦλα τανυπτερύγων.

55. [45.]

. (*Τύχα*), *Εὐνομίας τε καὶ Πειθοῦς ἀδελφὸ*
καὶ Προμαθείας θυγάτηρ.

56. [59.]

Πεῖρά τοι μαθήσιος ἀρχά.

57. [121.]

Εστι παρέντων μνᾶστιν ἐπιθέσθαι.

59. [73.]

. . . *Ὅσαι δὲ παῖδες ἀμέων*
ἐντί, τὸν κιθαριστὰν αἰνέοντι.

60. [22.]

⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑⏑ ⏑ –́ ⏑ ⏑ ⏓

Ἐπῆγε δὲ καὶ μέλος Ἀλκμὰν
εὗρέ τε γλωσσάμενον
κακκαβίδων ὄνομα συνθέμενος.

61.

Οἶδα δ' ὀρνίχων νόμως
πάντων.

62. [52.]

Δουρὶ δὲ ξυστῷ μέμηνεν Αἴας αἱματᾷ τε Μέμνων.

63. [48.]

Ὅς Ϝέθεν πάλοις ἔπαλεν δαίμονάς τ' ἐδάσσατο.

64. [19.]

Κὴπὶ τᾷ μύλᾳ ῥυφῆται κὴπὶ ταῖς συναικλίαις.

65.

Οὐ γὰρ πορφύρας τόσος κόρος
ὥστ' ἀμύνασθαι.

66. [26.]

Αἶκλον Ἀλκμάων ἁρμόξατο.

67.

Ἦσκέ τις σκάφευς ἀνάσσων.

68. [36.]

Πρόσθ' Ἀπόλλωνος Λυκήω.

69. [17.]

Κλῖναι μὲν ἑπτὰ καὶ τόσαι τράπεσδαι
μακωνίδων ἄρτων ἐπιστέφοισαι,
λίνῳ τε σασάμῳ τε κὴν πελίχναις
πέδεσσι χρυσοκόλλα.

70. [18.]

. . . . Θριδακίσκα
καὶ κριβανωτώς.

71. [28.]

Ἤδη παρέξει πυάνιόν τε πόλτον
χίδρον τε λευκὸν κηρίναν τ' ὀπώραν.

72. [24.]

Ὥρας δ' ἔσηκε τρεῖς, θέρος
καὶ χεῖμα κὠπώραν τρίταν,
καὶ τέτρατον τὸ ἦρ, ὅκα
σάλλει μέν, ἐσθίεν δ' ἄδαν
οὐκ ἔστιν.

73. 74. [74. 75.]

. . . . . Αἲ γὰρ ἅμιν
τούτων μέλοι . . .
ἁμὶν δ' ὑπαυλήσει μέλος.

75. [77.]

Καὶ χεῖμα πῦρ τε δάϜιον.

76.

Οἶκας μὲν ὡραίῳ λίνῳ.

77.

Λεπτὰ δ' ἄταρπος, νηλεὴς δ' ἀνάγκα.

78. [63.]

⏑́⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ –

Φρύγιον αὔλησε μέλος τὸ Κερβήσιον.

79. 80. [35.]

Περισσόν· αἲ γὰρ Ἀπόλλων ὁ Λύκηος.
Ἰνὼ σαλασσομέδοισ', ἂν ἀπὸ μάσδων.

81. [7.]

Ἕκατον μὲν Διὸς υἱὸν τάδε Μῶσαι κροκόπεπλοι.

82. [60.]

Ἄδοι Διὸς δόμῳ
ὁ χορὸς ἁμὸς καὶ τοί, Fάναξ.

83. [53.]

Ἀνὴρ δ' ἐν ἀρμένοις ἀλιτηρὸς ἧσται
ἐπὶ θάκας κατὰ πέτρας
ὁρέων μὲν οὐδέν, δοκέων δέ.

84.

Ὁπότε ὑπὸ τοῦ Ἱππολόχου, κλέος δ' ἔβαλλον οὐ ν ὑπεστάντων.

III.

A R I O N.

– –́ ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
– –́ ⏑ – –́ ⏑ ⏑ – –
–́ ⏑ – ⏑ ⏖́ ⏑ – –
– –́ ⏑ – –́ ⏑ ⏑ –
– –́ ⏑ ⏑ – –́ ⏑ ⏓
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ ⏖ ⏑ –́ ⏑ ⏓
× – –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ – –
– –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ – –́ ⏑ ⏑ – –
×⏖ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ – ⏓

Ὕψιστε θεῶν,
πόντιε χρυσοτρίαινε Πόσειδον,
γαιάοχ' ἐγκύμον' ἀν' ἅλμαν·
βραγχίοις περὶ δὲ σὲ πλωτοί
θῆρες χορεύουσι κύκλῳ,
κούφοισι ποδῶν ῥίμμασιν
ἐλάφρ' ἀναπαλλόμενοι, σιμοί,
φριξαύχενες, ὠκύδρομοι σκύλακες, φιλόμουσοι
δελφῖνες, ἔναλα θρέμματα
κουρᾶν Νηρεΐδων θεᾶν,
ἃς ἐγείνατ' Ἀμφιτρίτα·
οἵ μ' εἰς Πέλοπος γᾶν ἐπὶ Ταιναρίαν
ἀκτὰν ἐπορεύσατε πλαζόμενον Σικελῷ ἐνὶ πόντῳ,
κυρτοῖσι νώτοις ὀχεόντες,
ἄλοκα Νηρεΐας πλακός
τέμνοντες, ἀστιβῆ πόρον, φῶτες δόλιοι
ὥς μ' ἀφ' ἁλιπλόου γλαφυρᾶς νεώς
εἰς οἶδμ' ἁλιπόρφυρον λίμνας ἔριψαν.

IV.

S A P P H O.

1. [1.] *)

Ποικιλόθρον', ἀθάνατ' Ἀφρόδιτα,
παῖ Δίος, δολόπλοκε, λίσσομαί σε,
μή μ' ἄσαισι μήτ' ὀνίαισι δάμνα,
πότνια, θῦμον·
ἀλλὰ τυῖδ' ἔλθ', αἴποτα κἀτέρωτα
τᾶς ἔμας αὔδως ἀΐοισα πήλυι
ἔκλυες, πάτρος δὲ δόμον λίποισα
χρύσιον ἦλθες
ἄρμ' ὑποζεύξαισα· κάλοι δέ σ' ἆγον
ὤκεες στροῦθοι περὶ γᾶς μελαίνας

---

*) Numeri adiecti sunt editionis Neuianae.

πύκνα δινεῦντες πτέρ' ἀπ' ὠράνω αἴθε-
ρος διὰ μέσσω.
αἶψα δ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
μειδιάσαισ' ἀθανάτῳ προςώπῳ,
ἤρε', ὄττι δηὖτε πέπονθα κὄττι
δηὖτε κάλημι,
κὄττ' ἔμῳ μάλιστα θέλω γένεσθαι
μαινόλᾳ θύμῳ· τίνα δηὖτε Πείθω
μαῖς ἄγην ἐς σὰν φιλότατα, τίς σ', ὦ
Ψάπφ', ἀδικήει;
καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει,
αἰ δὲ δῶρα μὴ δέκετ', ἄλλα δώσει,
αἰ δὲ μὴ φίλει, ταχέως φιλήσει
κωὐκ ἐθέλοισα.
ἔλθε μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
ἐκ μεριμνᾶν, ὄσσα δέ μοι τέλεσσαι
θῦμος ἰμέῤῥει, τέλεσον· σὺ δ' αὔτα
σύμμαχος ἔσσο.

2. [2.]

Φαίνεταί μοι κῆνος ἴσος θέοισιν
ἔμμεν ὤνηρ, ὄςτις ἐναντίος τοι
ἰζάνει, καὶ πλασίον ἆδυ φωνεί-
σας ὑπακούει
καὶ γελαίσας ἰμερόεν, τό μοι μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόασεν·
ὡς γὰρ εὔιδον βροχέως σε, φώνας
οὐδὲν ἔτ' εἴκει·
ἀλλὰ καμ μὲν γλῶσσα ἔαγε, λέπτον δ'
αὔτικα χρῷ πῦρ ὑπαδεδρόμακεν,
ὀππάτεσσι δ' οὐδὲν ὄρημ', ἐπιρρόμ-
βεισι δ' ἄκουαι.
ἁ δέ μ' ἴδρως κακχέεται, τρόμος δὲ
πᾶσαν ἄγρει, χλωροτέρα δὲ ποίας
ἔμμι, τεθνάκην δ' ὀλίγω 'πιδεύην
φαίνομαι (ἄλλα).
ἀλλὰ πὰν τόλματον, [ἐπεὶ καὶ πένητα].

3. [3. 106.]

Ἄστερες μὲν ἀμφὶ κάλαν σελάναν
ἂψ ἀποκρύπτοισι φάεννον εἶδος,
ὄπποτ' ἂν πλήθοισα μάλιστα λάμπῃ
(ἀργυρέα) αὔγαν.

4. [4.]

Ἀμφὶ δὲ [ὕδωρ] ψῦχρον κελάδει δι' ὔσδων
μαλίνων, αἰθυσσομένων δὲ φύλλων
κῶμα καταῤῥεῖ.

5. [5.]

. . . Ἔλθε Κύπρι
χρυσίαισιν ἐν κυλίκεσσιν ἄβρως
συμμεμιγμένον θαλίαισι νέκταρ
οἰνοχοεῦσα.

6. [6.]

Ἤ σε Κύπρος ἢ Πάφος ἢ Πάνορμος.

* 9.

Αἴθ' ἔγω, χρυσοστέφαν' Ἀφρόδιτα,
τόνδε τὸν πάλον λαχόην.

10. [90.]

Αἴ με τιμίαν ἐπόησαν ἔργα
τὰ σφὰ δοῖσαι.

11. [47.]

. . . . Τάδε νῦν ἐταίραις
ταῖς ἔμαισι τέρπνα κάλως ἀείσω.

12. [87.]

. . . . Ὄττινας γάρ
εὖ θέω, κῆνοί με μάλιστα σίνον-
ται . . . .

* 14.

Ταῖς κάλαις ὔμμιν (τὸ) νόημα τὦμον
οὐ διάμειπτον.

16. [62.]

. . . . . . Κἄντα
στᾶθι φίλος καὶ
τὰν ἐπ᾽ ὄσσοις ἀμπέτασον χάριν.

17. [8.]

Ταῖσι (δὲ) ψῦχρος μὲν ἔγεντο θῦμος,
παρ δ᾽ ἵεισι τὰ πτέρα . . .

18. [11.]

Τὸν δ᾽ ἐπιπλάζοντες ἄμοι φέροιεν
καὶ μελεδῶναις.

19. [12.]

᾽Αρτίως μ᾽ ἁ χρυσοπέδιλος Αὔως.

20. [83.]

. . . . Πόδας δέ
ποίκιλος μάσλης ἐκάλυπτε, Λύδι-
ον κάλον ἔργον.

21. [84.]

. . . . Παντοδάπαις μεμιγμέ-
να χροΐαισιν.

* 22.

. . . Ἔμεθεν δ᾽ ἔχεισθα λάθαν.

* 23.

. . . . . Ἤ τιν᾽ ἄλλον
(μᾶλλον) ἀνθρώπων ἔμεθεν φίλησθα.

27. [135.]

[Κεῖνον, ὦ χρυσόθρονε Μοῦσ᾽, ἔνισπες
ὕμνον, ἐκ τᾶς καλλιγύναικος ἐσθλᾶς
Τήιος χώρας ὃν ἄειδε τερπνῶς
πρέσβυς ἀγανός.]

28. [93.]

Σκιδναμένας ἐν στήθεσιν ὄργας
μαψυλάκαν γλῶσσαν πεφύλαχθαι.

---

29. [61.]

Αἰ δ' ἦχες ἔσλων ἴμερον ἢ κάλων,
καὶ μή τι Fείπην γλῶσσ' ἐκύκα κάκον,
αἴδως κέ σ' οὐ κίχανεν ὄππατ',
ἀλλ' ἔλεγες περὶ τῶ δικαίως.

---

30. [66.]

Χρύσειοι δ' ἐρέβινθοι ἐπ' αἰόνων ἐφύοντο.

31. [67.]

Λάτω καὶ Νιόβα μάλα μὲν φίλαι ἦσαν ἔταιραι.

32. [16.]

Μνάσασθαί τινά φαμι καὶ ὕστερον ἀμμέων.

33. [14.]

Ἠράμαν μὲν ἔγω σέθεν, Ἄτθι, πάλαι πόκα.

34. [27.]

Σμίκρα μοι πάϊς ἔμμεν ἐφαίνεο κἄχαρις.

* 35.

Ἄλλα, μὴ μεγαλύνεο δακτυλίω πέρι.

36.

Οὐκ οἶδ' ὄττι θέω· δύο μοι τὰ νοήματα.

37. [9.]

Ψαύην δ' οὐ δοκίμοιμ' ὀράνω δύσι πάχεσιν.

* 38. [75.]

Ὡς δὲ παῖς πεδὰ μάτερα πεπτερύγωμαι.

39. [36.]

Ἦρος ἄγγελος ἰμερόφωνος ἀήδων.

* 40. [37.]

Ἔρος δαὖτέ μ' ὁ λυσιμέλης δόνει
γλυκύπικρον ἀμάχανον ὄρπετον.

* 41. [37.]

Ἄτθι, σοὶ δ' ἔμεθεν μὲν ἀπήχθετο
φροντίσδην, ἐπὶ δ' Ἀνδρομέδαν πότῃ.

42. [74.]

(Ἔρος δαὖτ' ἐτίναξεν ἔμοι φρένας),
ἄνεμος κατ' ὄρος δρύσιν ἐμπέσων.

43. [40.]

Ὄτα πάννυχος ἄσφι κατάγρει.

---

44. [25.]

Χειρόμακτρα δὲ καγγόνων
πορφυρᾶ. . . .
καὶ ταῦτα μὲν ἀτιμάσεις,
ἔπεμψ' ἀπὺ Φωκάας
δῶρα τίμια καγγόνων.

45. [24.]

Ἄγε δὴ χέλυ δῖά μοι
φωνάεσσα γένοιο.

46. [26.]

Κἀπάλαις ὑποθύμιδας
πλέκταις ἀμπ' ἀπάλᾳ δέρᾳ.

50. [54.]

Ἔγω δ' ἐπὶ μαλθάκαν
τύλαν σπολέω μέλεα.

51. [79. 70.]

Κῆ δ' ἀμβροσίας μὲν κράτηρ ἐκέκρατο,
Ἑρμᾶς δ' ἔλεν ὄλπιν θεοῖς οἰνοχόησαι.
κῆνοι δ' ἄρα πάντες καρχήσιά τ' ἦχον
κἄλειβον, ἀράσαντο δὲ πάμπαν ἔσλα
τῷ γάμβρῳ.

* 52. [55.]

Δέδυκε μὲν ἁ σελάνα
καὶ Πληΐαδες, μέσαι δέ
νύκτες, παρὰ δ' ἔρχεθ' ὥρα,
ἔγω δὲ μόνα καθεύδω.

53: [56.]

Πλήρης μὲν ἐφαίνεθ' ἁ σελάνα,
αἱ δ' ὡς περὶ βῶμον ἐστάθησαν.

* 54. [46.]

Κρῆσσαί νύ ποθ' ὧδ' ἐμμελέως πόδεσσιν
ὤρχεῦντ' ἀπάλοις ἀμφ' ἐρόεντα βῶμον
πόας τέρεν ἄνθος μάλακον μάτεισαι.

* 55.

Ἄβρα δηὖτε παχήᾳ σπόλᾳ ἀλλόμαν.

56. [30.]

Φαῖσι δή ποτα Λήδαν ὑακίνθινον
πεπυκαδμένον ὤϊον
εὕρην.

57. [39.]

Ὀφθάλμοις δὲ μέλαις νύκτος ἄωρος.

58. [58.]

Ἔχει μὲν Ἀνδρομέδα κάλαν ἀμοίβαν.

59. [58.]

Ψάπφοι, τί τὰν πολύολβον Ἀφρόδιταν;

60. [50.]

Δεῦτέ νυν ἄβραι Χάριτες, καλλίκομοί τε Μοῖσαι.

61.

Πάρθενον ἀδύφωνον.

---

* 62. [128.]

Κατθνάσκει, Κυθέρη᾽, ἄβρος Ἄδωνις, τί κε θεῖμεν;
Καττύπτεσθε κόραι καὶ κατερείκεσθε χίτωνας.

* 63.

Ὦ τὸν Ἄδωνιν.

64. [21.]

Ἔλθοντ᾽ ἐξ ὀράνω πορφυρίαν ἔχοντα προϊέμενον χλάμυν.

65. [22.]

Βροδοπάχεες ἅγναι Χάριτες, δεῦτε Δίος κόραι.

66. [88.]

. . . ὁ δ᾽ Ἄρευς φαῖσί κεν Ἄφαιστον ἄγην βίᾳ.

67. [15.]

. . . . πόλλα δ᾽ ἀνάριθμα ποτήρια
καλαίφις.

68. [19.]

Κατθάνοισα δὲ κείσεαι, οὐδέ ποτα μναμοσύνα σέθεν
ἔσσετ᾽ οὔτε τότ᾽ οὔθ᾽ ὕστερον· οὐ γὰρ πεδέχεις βρόδων

τῶν ἐκ Πιερίας, ἀλλ᾽ ἀφάνης κἠν Ἀΐδα δόμοις
φοιτάσεις πεδ᾽ ἀμαύρων νεκύων ἐκπεποταμένα.

69.

Οὐδ᾽ ἴαν δοκίμοιμι προςίδοισαν φάος ἀλίω
ἔσσεσθαι σοφίαν πάρθενον εἰς οὐδένα πω χρόνον

τοιαύταν.

70. [23.]

Τίς δ' ἀγροιῶτίς τοι θέλγει νόον,
οὐκ ἐπισταμένα τὰ βράκε' ἕλκην ἐπὶ τῶν σφύρων;

* 71.

Ἥρων ἐξεδίδαξ' ἐκ Γυάρων τὰν τανυσίδρομον.

72. [29.]

. . . . *Ἀλλά τις οὐκ ἔμμι παλιγκότων*
ὄργαν, ἀλλ' ἀβάκην τὰν φρέν' ἔχω . . . . .

73.

. . . . *Αὐτὰρ ὀραῖαι στεφανηπλόκευν.*

74. [81.]

. . . . *Σύ τε κἄμος θεράπων Ἔρως.*

---

75. [20.]

Ἀλλ' ἔων φίλος ἄμμιν λέχος ἄρνυσο νεώτερον·
οὐ γὰρ τλάσομ' ἔγω ξυνοικεῖν ἔσσα γεραιτέρα.

76. A. [42.]

Εὐμορφοτέρα Μνασιδίκα τᾶς ἀπάλας Γυρίννως.

76. B. [42.]

Ἀσαροτέρας οὐδάμα πω Ἤραννα σέθεν τύχοισα.

77. [44.]

Σὺ δὲ στεφάνοις, ὦ Δίκα, περθέσθ' ἐράταις φόβαισιν
ὄρπακας ἀνήτοιο συνέῤῥαισ' ἀπάλαισι χέρσιν·

εὐάνθεα γὰρ πέλεται καὶ χάριτες μάκαιρα
μᾶλλον προτέρην· ἀστεφανώτοισι δ' ἀπυστρέφονται.

78. [43.]

Ἔγω δὲ φίλημ' ἀβροσύναν, καί μοι τὸ λάμπρον
ἔρος . . . ἀελίω καὶ τὸ κάλον λέλογχεν.

80. [45.]

Ὁ πλοῦτος ἄνευ (τᾶς) ἀρέτας οὐκ ἀσίνης πάροικος.

81. [72.]

Αὔτα δὲ σὺ Καλλιόπα.

82. [86.]

Δαύοις ἀπάλας ἐτάρας
ἐν στήθεσιν . . . .

83. [77.]

Δεῦρο δηὖτε Μοῖσαι, χρύσεον λίποισαι.

* 84. [76.]

Ἔστι μοι κάλα πάϊς, χρυσέοισιν ἀνθέμοισιν
ἐμφέρην ἔχοισα μόρφαν, Κλᾶϊς ἀγαπάτα,
ἀντὶ τᾶς ἔγω οὐδὲ Λυδίαν πᾶσαν οὐδ' ἐράνναν.

85. [80.]

. . . . Πόλλα μοι τὰν
Πολυανάκτιδα παῖδα χαίρην.

---

86. [53.]

Ζαελεξάμαν ὄναρ Κυπρογενήᾳ.

87. [52.]

Τί με Πανδίονις ὦ Ὤραννα χελίδων.

88. [57.]

Τριβώλετερ· οὐ γὰρ Ἀρκάδεσσι λώβα.

89. [31.]

. . . . Ἀμφὶ δ' ἄβροις λασίοις εὖ Fε πύκασσεν.

90. [32.]

Γλύκεια μᾶτερ, οὔτοι δύναμαι κρέκην τὸν ἴστον,
πόθῳ δάμεισα παῖδος βραδίναν δι' Ἀφρόδιταν.

ΕΠΙΘΑΛΑΜΙΑ.

91. [73.]

Ἴψοι δὴ τὸ μέλαθρον
      Ὑμήναον
ἀέῤῥετε τέκτονες ἄνδρες·
      Ὑμήναον.
γάμβρος ἔρχεται ἶσος Ἄρηϊ
      (Ὑμήναον)
ἄνδρος μεγάλω πόλυ μείζων·
      (Ὑμήναον).

92. [69.]

Πέῤῥοχος, ὡς ὅτ' ἄοιδος ὁ Λέσβιος ἀλλοδάποισιν.

93. [35. 133.]

Οἶον τὸ γλυκύμαλον ἐρεύθεται ἄκρῳ ἐπ' ὕσδῳ
ἄκρον ἐπ' ἀκροτάτῳ· λελάθοντο δὲ μαλοδρόπηες,
οὐ μὰν ἐκλελάθοντ', ἀλλ' οὐκ ἐδύναντ' ἐφίκεσθαι.

94.

Οἴαν τὰν ὑάκινθον ἐν οὔρεσι ποίμενες ἄνδρες
πόσσι καταστείβοισι, χάμαι δέ τε πόρφυρον ἄνθος. . .

95. [68.]

Ϝέσπερε, πάντα φέρεις, ὅσα φαίνολις ἐσκέδασ' αὔως.

98. [38. 110.]

Θυρώρῳ πόδες ἐπτορόγυιοι,
τὰ δὲ σάμβαλα πεμπεβόηα,
πίσυγγοι δὲ δέκ' ἐξεπόνασαν.

99. [63.]

Ὄλβιε γάμβρε σοὶ μὲν δὴ γάμος, ὡς ἄραο,
ἐκτετέλεστ', ἔχεις δὲ πάρθενον, ἂν ἄραο.

100. [64.]

Μελλίχιος δ' ἐπ' ἰμέρτῳ κέχυται προςώπῳ.

101. [41.]

Ὁ μὲν γὰρ κάλος, ὄσσον ἴδην, πέλεται (ἄγαθος),
ὁ δὲ κἄγαθος αὔτικα καὶ κάλος ἔσσεται.

102. [71.]

Ἠρ' ἔτι παρθενίας ἐπιβάλλομαι;

* 103. [78.]

Χαίροισα νύμφα, χαιρέτω δ' ὁ γάμβρος.

* 104. [34.]

Τίῳ σ', ὦ φίλε γάμβρε, κάλως ἐϊκάσδω;
ὄρπακι βραδίνῳ σε κάλιστ' ἐϊκάσδω.

105. [49.]

. . . . Χαῖρε, νύμφα,
χαῖρε, τίμιε γάμβρε, πόλλα.

106. [65.]

Οὐ γὰρ ἦν ἑτέρα πάϊς, ὦ γάμβρε, τοιαύτα.

109. [51.]

A. *Παρθενία, παρθενία, ποῖ με λίποισ' οἴχῃ;*
B. *Οὐκέτι ἥξω πρὸς σέ, οὐκέτι ἥξω.*

ΕΠΙΓΡΑΜΜΑΤΑ.

118. [137.]

Παῖδες, ἄφωνος ἐοῖσα τόδ' ἐννέπω, αἴ τις ἔρηται,
φωνὰν ἀκαμάταν κατθεμένα πρὸ ποδῶν·
Αἰθοπίᾳ με κόρᾳ Λατοῦς ἀνέθηκεν ἀρίστα
Ἑρμοκλείταο τὼς ἄῡν ἀϊάδα
σὰ πρόπολος, δέσποινα γυναικῶν· ᾇ σὺ χαρεῖσα
πρόφρων ἀμετέραν εὐκλέϊσον γενεάν.

119. [138.]

Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῦσαν
δέξατο Φερσεφόνας κυάνεος θάλαμος,

ἅς καὶ ἀποφθιμένας πᾶσαι νεοθᾶγι σιδάρῳ
  ἅλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

120. [139.]

Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἐπέθηκε Μενίσκος
  κύρτον καὶ κώπαν, μνᾶμα κακοζοΐας.

V.

ERINNA.

ΗΛΑΚΑΤΗ.

1.

Πομπίλε, ναύταισιν πέμπων πλόον εὔπλοον ἰχθύ,
πομπεύσαις πρύμναθεν ἐμὰν ἀδεῖαν ἑταίραν.

2.

Παυρολόγοι πολιαί, ταὶ γήραος ἄνθεα θνατοῖς.

3.

Τοῦτό κεν εἰς Ἀΐδαν κενεὰ διανήχεται ἀχώ,
σιγᾷ δ' ἐν νεκύεσσι· τὸ δὲ σκότος ὄσσε κατέῤῥει.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

4.

Δέξ' ἀταλᾶν χειρῶν τάδε γράμματα, λῷστε Προμαθεῦ·
  ἔντι καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν·
ταύταν γοῦν ἐτύμως τὰν παρθένον ὅστις ἔγραψεν,
  αἴκ' αὐδὰν ποτέθηκ', ἦς κ' Ἀγαθαρχὶς ὅλα.

5.

Στᾶλαι καὶ Σειρῆνες ἐμαὶ καὶ πένθιμε κρωσσέ,
  ὅστις ἔχεις Ἀΐδα τὰν ὀλίγαν σποδίαν,

τοῖς ἐμὸν ἐρχομένοισι παρ' ἠρίον εἴπατε χαίρειν,
αἴτ' ἀστοὶ τελέθωντ', αἴθ' ἑτεροπτόλιες·
χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό·
χὤτι πατήρ μ' ἐκάλει Βαυκίδα, χὤτι γένος
Τηνία, ὡς εἰδῶντι· καὶ ὅττι μοι ἁ συνεταιρὶς
Ἤρινν' ἐν τύμβῳ γράμμ' ἐχάραξε τόδε.

6.

Νύμφας Βαυκίδος ἐμμί· πολυκλαύταν δὲ παρέρπων
στάλαν, τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀΐδᾳ·
„Βάσκανος ἔσσ', Ἀΐδα·" τὰ δέ τοι καλὰ σάμαθ' ὁ[
ὠμοτάταν Βαυκοῦς ἀγγελέοντι τύχαν,
ὡς τὰν παῖδ', Ὑμέναιος ἐφ' αἷς *ἤδετο πεύκαις,
τὰν δ' ἐπὶ καδευτὰς ἔφλεγε πυρκαϊᾶς·
καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖον ἀοιδὰν
ἐς θρηνῶν γοερῶν φθέγμα μεθηρμόσαο.

VI.

A L C A E U S.

Υ Μ Ν Ο Ι.

1. [20.] *)

Ε Ι Σ Α Π Ο Λ Λ Ω Ν Α.

Ὦ 'ναξ Ἄπολλον, παῖ μεγάλω Δίος.

5. [22.]

ΕΙΣ ΕΡΜΗΝ.

Χαῖρε Κυλλάνας ὁ μέδεις, σὲ γάρ μοι.

---

*) Numeri uncis inclusi sunt editionis Matthianae.

9. [54.]

ΕΙΣ ΑΘΗΝΑΝ.

Ὤνασσ' Ἀθανάα πολεμαδόκος,
ἅ ποι Κορωνήας επιδεω
ναύω πάροιθεν ἀμφι . .
Κωραλίω ποτάμω παρ' ὄχθαις.

---

11. [71.]

ΕΙΣ ΗΦΑΙΣΤΟΝ.

Ὥστε θέων μηδέν' Ὀλυμπίων λῦσαι ἄτερ Fέθεν.

---

* 13. [24.]

Δεινότατον θέων
ἐγείνατ' εὐπέδιλος Ἶρις
χρυσοκόμᾳ Ζεφύρῳ μίγεισα.

II. ΣΤΑΣΙΩΤΙΚΑ.

15. [1.]

Μαρμαίρει δὲ μέγας δόμος χάλκῳ· πᾶσα δ' Ἄρῃ κεκόσμηται στέγα
λάμπραισιν κυνίαισι, καττᾶν λεῦκοι καθύπερθεν ἴππιοι λόφοι
νεύοισιν, κεφάλαισιν ἄνδρων ἀγάλματα, χάλκιαι δὲ πασσάλοις
κρύπτοισιν περικείμεναι λάμπραι κνάμιδες, ἄρκος ἰσχύρω βέλευς,
θώρακές τε νέοι λίνω κοΐλαί τε κατ' ἄσπιδες βεβλήμεναι·
παρ δὲ Χαλκίδικαι σπάθαι, παρ δὲ ζώματα πολλὰ καὶ κυπάττιδες·
τῶν οὐκ ἔστι λάθεσθ', ἐπειδὴ πρώτισθ' ὑπὸ ἔργον ἔσταμεν τόδε.

18. [2.]

Ἀσυνέτημι τῶν ἀνέμων στάσιν·
τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,
τὸ δ' ἔνθεν· ἄμμες δ' ἀν τὸ μέσσον
νᾶϊ φορήμεθα σὺν μελαίνᾳ,
χείμωνι μοχθεῦντες μεγάλῳ μάλα·
περ μὲν γὰρ ἄντλος ἱστοπέδαν ἔχει,
λαῖφος δὲ πὰν ζάδηλον ἤδη
καὶ λάκιδες μέγαλαι κατ' αὐτο·
χόλαισι δ' ἄγκυραι.

19. [3.]

Τὸ δηὖτε κῦμα τῶν προτέρων ὄνω
στείχει, παρέξει δ' ἄμμι πόνον πόλυν
ἄντλην, ἐπεί κε νᾶος ἐμβᾷ.

20. [4.]

Νῦν χρὴ μεθύσθην καί τινα πρὸς βίαν
πώνην, ἐπειδὴ κάτθανε Μύρσιλος.

21. [7.]

Μέλαγχρος αἴδως ἄξιος εἰς πόλιν.

22. [10.]

Λόφον τε σείων Κάρικον.

23. [11. 12.]

Ἄνδρες πόληος πύργος ἀρεΰϊοι.

☛ 25. [14.]

Ὤνηρ οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος
ἀντρέψει τάχα τὰν πόλιν· ἁ δ' ἔχεται ῥόπας.

26. [94. b.]

Οὐδέ πω Ποσείδαν
ἅλμυρον ἐστυφέλιξε πόντον.

* 27.

Ἔπταζον ὥστ' ὄρνιθες ὦκυν
αἴετον ἐξαπίνας φάνεντα.

* 28.

Ἄρευ δαΐφοβος δαΐκτηρ.

* 29.

Ἄρευος στρατιωτέροις.

* 30.

Τὸ γάρ
Ἄρευϊ κατθάνην κάλον.

* 31.

Μῖξαν δ' ἐν ἀλλάλοις Ἄρευα.

---

33. [67. 8.]

ΠΡΟΣ ΑΝΤΙΜΕΝΙΔΑΝ.

Ἦλθες ἐκ περάτων γᾶς ἐλεφαντίναν
λάβαν τῶ ξίφεος χρυσοδέταν ἔχων,
(ἐπειδὴ μέγαν ἄθλον Βαβυλωνίοις
συμμάχεις τέλεσας, ῥύσαό τ' ἐκ πόνων,)
κτέννais ἄνδρα μαχαίταν βασιληΐων
παλαίσταν ἀπολείποντα μόνον μίαν
παχέων ἀπὺ πέμπων.

III. ΣΚΟΛΙΑ.

34. [27.]

Ὕει μὲν ὁ Ζεύς, ἐκ δ' ὀράνω μέγας
χείμων, πεπάγασιν δ' ὑδάτων ῥόαι.
— — — — —

— — — —

κάββαλλε τὸν χείμων', ἐπὶ μὲν τίθεις
πῦρ, ἐν δὲ κίρναις οἶνον ἀφειδέως
μέλιχρον, αὐτὰρ ἀμφὶ κόρσᾳ
μάλθακον ἀμφι . . γνόφαλλον.

35. [29.]

Οὐ χρὴ κάκοισι θῦμον ἐπιτρέπην·
προκόψομεν γὰρ οὐδὲν ἀσάμενοι,
ὦ Βύκχι, φάρμακον δ' ἄριστον
οἶνον ἐνεικαμένοις μεθύσθην.

36. [33. 32.]

Ἀλλ' ἀνήτω μὲν περὶ ταῖς δέραισιν
περθέτω πλέκταις ὑποθύμιδάς τις,
καδ δὲ χευάτω μύρον ἆδυ κατ τῶ
στήθεος ἄμμι.

37. [5.]

Τὸν κακοπάτριδα
Πίτταχον πόλεως τᾶς ἀχόλω καὶ βαρυδαίμονος
ἐστάσαντο τύραννον μέγ' ἐπαινέοντες ἀόλλεες.

39. [28. a.]

Τέγγε πνεύμονας οἴνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται,
ἁ δ' ὥρα χαλέπα, πάντα δὲ δίψαισ' ὑπὸ καύματος.
ἄχει δ' ἐκ πετάλων Fάδεα τέττιξ, πτερύγων δ' ὕπο
κακχέει λιγύραν (πύκνον) ἀοίδαν, ὄτι ποτ' ἂν
φλόγιον καθέταν ἐπιπτάμενον καταυδείη.
ἄνθει δὲ σκόλυμος· νῦν δὲ γύναικες μιαρώταται,
λέπτοι δ' ἄνδρες, ἐπεὶ καὶ κεφάλαν καὶ γόνα Σείριος
ἄζει.

40.

Πίνωμεν, τὸ γὰρ αστρον περιτέλλεται.

41. [31.]

Πίνωμεν· τί τὸ λύχνον μένομεν; δάκτυλος ἀμέρα.
καδ δ' ἄειρε κυλίχναις μεγάλαις αἶ τὰ ποικίλαις·
οἶνον γὰρ Σεμέλας καὶ Δίος υἶος λαθικάδεα
ἀνθρώποισιν ἔδωκ'· ἔγχεε κίρναις ἕνα καὶ δύο
πλέαις κακ κεφάλας, ἁ δ' ἁτέρα τὰν ἑτέραν κύλιξ
ὠθήτω.

42.

Κατ τᾶς πόλλα παθοίσας κεφάλας χεῦον ἔμοι μύρον
καὶ κατ τῶ πολίω στήθεος.

43. [35.]

Λάταγες ποτέονται
κυλιχνᾶν ἀπὸ Τηΐᾶν.

44. [30.]

Μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδριον ἀμπέλω.

45. [28. b.]

Ἦρος ἀνθεμόεντος ἐπάϊον ἐρχομένοιο.
* * * * * * *
ἐν δὲ κίρνατε τῶ μελιάδεος ὄττι τάχιστα
κράτηρα.

* 46.

Κέλομαί τινα τὸν χαρίεντα Μένωνα κάλεσσαι,
αἰ χρὴ συμποσίας ἐπ' ὄνασιν ἔμοι γεγένησθαι.

47. [34.]

Ἄλλοτα μὲν μελιάδεος, ἄλλοτα δ'
ὀξυτέρω τριβόλων ἀρυτήμενοι.

48. [26.]

Κρονίδα βασίληος γένος Αἴαν, τὸν ἄριστον πεδ' Ἀχίλλεα.

49. [49.]

. . . . Ἀχίλλευ, ὁ τᾶς Σκυθίκας μέδεις.

50. [50.]

Ὡς γάρ δήποτ' Ἀριστόδαμόν φαισ' οὐκ ἀπάλαμνον ἐν
Σπάρτᾳ λόγον
εἴπην· χρήματ' ἄνηρ, πένιχρος δ' οὐδεὶς πέλετ' ἔσλος
οὐδὲ τίμιος.

51. [59.]

Πέτρας καὶ πολίας θαλάσσας τέκνον . . . .
. . . ἐκ δὲ παίδων χαύνοις φρένας, ἁ θαλασσία λέπας.

52. [60.]

— —'Ἐκ δὲ ποτηρίων πώνης Διννομένῃ παρίσδων.

53. [36.]

Οἶνος γὰρ ἀνθρώποις δίοπτρον.

IV. ΕΡΩΤΙΚΑ.

55. [41. 42.]

Ἰόπλοχ' ἄγνα μειλιχόμειδε Σάπφοι,
θέλω τι Ϝείπην, ἀλλά με κωλύει αἴδως.

56. [40.]

Δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσομαι.

57. [37.]

Οἶνος, ὦ φίλε παῖ, καὶ ἀλάθεα.

58. [43.]

Οὐκ ἔγω Λύκον ἐν Μοίσαις ἀλέγω.

59. [69.]

Ἔμε δείλαν, ἔμε πασᾶν κακοτάτων πεδέχοισαν.

60.

Ἔπετον Κυπρογενήας παλάμαισιν.

61.

Τερένας ἄνθος ὀπώρας.

* 62. [124.]

Κόλπῳ σ' ἐδέξανθ' ἄγναι Χάριτες Κρόνῳ.

* 63. [25.]

Ἄεισον ἄμμι τὰν ἰόκολπον.

V. ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

64.

Καὶ πλείστοις ἐάνασσε λάοις.

65. [96.]

Πρῶτα μὲν Ἄντανδρος Λελέγων πόλις.

68. [84.]

Πάμπαν δὲ τύφως ἔκ σ' ἕλετο φρένας.

* 69. [123.]

Καί τις ἐπ' ἐσχατίαισιν οἴκεις.

* 70.

Καὶ θέον ἀμερίοις βρότοισιν.

71.

Ὡς λόγος ἐκ πατέρων ὄρωρεν.

* 72. [73.]

Ἔμ' αὔτῳ παλαμάσομαι.

73. [80.]

Ὅτ' ἄσφ' ἀπολλυμένοις σάως.

74. [81.]

Οἴκω τε περ σῶ καὶ περ' ἀτιμίας.

75. [99.]

Εἷς τῶν δυοκαιδέκων.

76. [89.]

Καί κ' οὐδὲν ἐκ δένος γένοιτο.

77. [15.]

Αἰ δέ κ' ἄμμι Ζεὺς τελέσῃ νόημα.

80. [15.]

Ἄμμιν ἀθάνατοι θέοι
νίκαν.

81. [47.]

Νῦν δ' οὗτος ἐπικρέτει
κινήσας τὸν ἀπ' ἴρας πύκινον λίθον.

82. [85.]

Αἴκ' εἴπῃς, τὰ θέλεις, (ᾗ κεν) ἀκούσαις, τά κεν οὐ θέλοις.

83. [79.]

Τὸ γὰρ θεῶν ἰότητ' ὔμμε λαχόντων γέρας ἄφθιτον
ἀνθήσει.

84. [53.]

Ὄρνιθες τίνες οἴδ' ὠκεανῶ γᾶς ἀπὺ πεῤῥάτων
ἦλθον πανέλοπες ποικιλόδειροι τανυσίπτεροι;

85 [68.]

Νύμφαις, ταὶς Δίος ἐξ αἰγιόχω φαῖσι τετυγμέναις.

86. [94. e.]

Αἰ γάρ κ' ἄλλοθεν ἔλθῃ, ὁ δέ φαι κήνοθεν ἔμμεναι.

87. [75.]

. . . σὺ δὲ σαύτῳ τομίας ἔσῃ
(πρὸς πόσιν.) . . .

88. [72.]

Μηδ' ὀνίαις τοῖς πέλας ἀμμέων παρέχην.

89. [48.]

Οὐδέ τι μυνάμενος ἄλλυι τὸ νόημα.

91. [91.]

Ἄρκαδες ἔσσαν βαλανηφάγοι.

92. [65.]

Ἀργάλεον πενία, κάκον ἄσχετον, ἃ μέγα δάμνης
λᾶον ἀμαχανίᾳ σὺν ἀδελφέᾳ.

93. [51.]

(*Ταντάλω*)

κεῖσθαι παρ κεφάλας μέγας, ὦ Αἰσιμίδα, λίθος.

94. [70.]

Ηρ ἔτι Διννομένη τῷ Τυῤῥακήῳ
τἄρμενα λάμπρα κέατ' ἐν μυρσινήῳ;

95. [66.]

Ἔκ μ' ἔλασας ἀλγέων.

96. [77.]

Οἴτινες ἔσλοι
ὐμμέων τε καὶ ἀμμέων.

97. [44.]

Ἐλάφῳ δὲ βρόμος ἐν στήθεσι φύει φόβερος.

98. [94. d.]

Ἐπὶ γὰρ πᾶρος ὀνίαρον ἵκνεῖται.

99. [92.]

Πάλιν ἁ ὗς παρορίνει.

VII.

PITTACUS.

⏑ ⁄– ⏑ – – ⁄– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –
– ⁄– ⏑ ⏑ – ⏑ ⏑ ⏓
– ⁄– ⏑ – – ⁄– ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ ⁄– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⁄– ⏑ – ⏑ – ⏓

Ἔχοντα δεῖ τόξον τε καὶ ἰοδόκον φαρέτραν
στείχειν ποτὶ φῶτα κακόν·
πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος
λαλεῖ διχόμυθον ἔχουσα καρδίῃ νόημα.

VIII.

BIAS.

– –́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – ⏑ – –

Ἀστοῖσιν ἄρεσκε πᾶσιν, ἐν πόλει αἴκε μένῃς·
πλείσταν γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος
πολλάκι (δὴ) βλαβερὰν ἐξέλαμψεν ἄταν.

IX.

CHILO.

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ – ⏒

Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται διδοὺς βάσανον φανεράν·
ἐν δὲ χρυσῷ ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον.

X.

THALES.

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏒
–́ ⏑ – ⏑ – –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –

Οὔ τι τὰ πόλλ' ἔπεα φρονίμην ἀπεφήνατο δόξαν·
ἕν τι μάτευε σοφόν,
ἕν τι κεδνὸν αἱροῦ·
λύσεις γὰρ ἀνδρῶν κωτίλων γλώσσας ἀπεραντολόγους.

XI.

CLEOBULUS.

1.

⏑ ́– ⏑ – ́– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏒
⏑ ́– ⏑ – ⏑ ́– ⏑ – ⏑ ́– ⏑ –

Ἀμουσία τὸ πλέον μέρος ἐν βροτοῖσιν
λόγων τε πλῆθος· ἀλλ᾽ ὁ καιρὸς ἀρκέσει.

2.

⏑ ́– ⏑ – – ́– ⏑ – ⏑⏑ ⏑ – ⏑ – –

Φρόνει τι κεδνόν· μὴ μάταιος ἄχαρις γενέσθω.

3.

Εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα· τῶν δέ θ᾽ ἑκάστῳ
παῖδες δὶς τριήκοντα διάνδιχα εἶδος ἔχουσαι·
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ᾽ αὖτε μέλαιναι·
ἀθάνατοι δέ τ᾽ ἐοῦσαι ἀποφθινύθουσιν ἅπασαι.

XII.

ECHEMBROTUS.

Ἐχέμβροτος Ἀρκὰς ἔθηκεν
τῷ Ἡρακλεῖ,
νικήσας τόδ᾽ ἄγαλμα
Ἀμφικτυόνων ἐν ἀέθλοις,
Ἕλλησι δ᾽ ἀείδων
μέλεα καὶ ἐλέγους.

XV.

STESICHORUS.

I. ΑΘΛΑ ΕΠΙ ΠΕΛΙΑι.

1. [1.] *)

. . . . . – ⏑ ⏑ – ⏓
–́ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
–́ – – – – – – – ⏑ ⏑ . . .

Τοῖς μὲν ἔδωκεν
Ἑρμείας Φλόγεόν τε καὶ Ἅρπαγον ὠκέα τέκνα Ποδάργας·
Ἥρα δὲ Ξάνθον καὶ Κύλλαρον.

2. [2.]

–́ ⏑ ⏑ – – – ⏑ ⏑ – ⏑ ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓

Σασαμίδας χόνδρον τε καὶ ἐγκρίδας,
ἄλλα τε πέμματα καὶ μέλι χλωρόν.

3. [3.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –́ – – ⏑ ⏑ –́ ⏓

Θρώσκων μὲν ἄρ' Ἀμφιάραος, ἄκοντι δὲ νίκασεν Μελέ-
αγρος.

II. ΓΗΡΥΟΝΗΙΣ.

5. [5.]

. . . ⏑ ⏑ – ⏑ ⏑ – – – ⏑ ⏑ – –
–́ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
–́ – – ⏑ ⏑ –

. . . Σχεδὸν ἀντιπέρας κλεινᾶς Ἐρυθείας
Ταρτησσοῦ ποταμοῦ παρὰ παγὰς ἀπείρονας, ἀργυρορίζους
ἐν κευθμῶνι πέτρας.

---

*) Numeri adiecti sunt editionis Kleinianae.

7. [7.]

⏑ ⏑ ´– ⏑ ⏑ – ⏑ ⏑ ´– ⏑ ⏑ – ⏑ ⏑ ´– ⏓
´– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

Σκυφίον δὲ λαβὼν δέπας ἔμμετρον ὡς τριλάγυνον
πῖεν ἐπισχόμενος, τό ῥά οἱ παρέθηκε Φόλος κεράσας.

8. [10.]

´– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
´– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ ´– ⏑ ⏑ – ⏑ ⏑ ´– ⏑ ⏑ – ⏑ ⏑ ´– –
⏑ ⏑ ´– ⏑ ⏑ – ⏑ ⏑ ´– ⏑ ⏑ – – ´– ⏑ ⏑ –
⏑ ⏑ ´– ⏑ ⏑ –
– ´– ⏑ ⏑ – ⏑ –
´– ⏑ ⏑ – ⏑ ⏓

Ἀέλιος δ' Ὑπεριονίδας δέπας ἐςκατέβαινεν
χρύσεον, ὄφρα δι' Ὠκεανοῖο περάσας
ἀφίκοιθ' ἱερᾶς ποτὶ βένθεα νυκτὸς ἐρεμνᾶς
ποτὶ ματέρα κουριδίαν τ' ἄλοχον παῖδάς τε φίλους·
ὁ δ' ἐς ἄλσος ἔβα
δάφναισι κατάσκιον
ποσσὶ πάϊς Διός.

17. [72.]

– ´– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ´– ⏑ ⏓

Πάτρω' ἐμὸν ἀντίθεον Μελάμποδα.

IX. *ΙΛΙΟΥ ΠΕΡΣΙΣ.*

18. [24.]

– ´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ ⏑ – ⏓

Ὤικτειρε γὰρ αὐτὸν ὕδωρ αἰεὶ φορέοντα Διὸς κούρα βασιλεῦσιν.

X. ΕΛΕΝΑ.

* 26. [44.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ – –́ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –

Οὐκ ἔστ' ἔτυμος λόγος οὗτος·
οὐδ' ἔβας ἐν νηυσὶν ευσέλμοις,
οὐδ' ἵκεο πέργαμα Τροίας.

27. [46.]

–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –

Πολλὰ μὲν Κυδώνια μᾶλα ποτεῤῥίπτουν ποτὶ δίφρον ἄνακτι,
πολλὰ δὲ μύρσινα φύλλα
καὶ ῥοδίνους στεφάνους ἴων τε κορωνίδας οὔλας.

XII. ΟΡΕΣΤΕΙΑ.

* 32. [96.]

–́ ⏑ ⏑ – . . . .
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –

Μοῦσα, σὺ μὲν . . . .
κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας καὶ θαλίας μακάρων.

* 33. [75.]

*Ὅταν ἦρος ὥρᾳ * κελαδῇ χελιδών.*

34. [39.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
(– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ – ⏓)

Τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων
ὑμνεῖν Φρύγιον μέλος ἐξευρόντας ἁβρῶς ἦρος ἐπερχομένου.

*. 35. [74.]

Οὕνεκα Τυνδάρεως ῥέζων ποτὲ πᾶσι θεοῖς
μούνας λάθετ' ἠπιοδώρου Κύπριδος· κεῖνα δ' ἄρα Τυνδάρεω
κούραισι χολωσαμένα διγάμους τε καὶ τριγάμους τίθησι
καὶ λιπεσάνορας *.

42. [43.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ –

Τᾷ δὲ δράκων ἐδόκησε μολεῖν κάρα βεβροτωμένος ἄκρον·
ἐκ δ' ἄρα τοῦ βασιλεὺς Πλεισθενίδας ἐφάνη.

XIV. *Ρ Α Δ Ι Ν Α.*

44. [55.]

⏒ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –
⏒ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –

Ἄγε Μοῦσα λίγει', ἄρξον ἀοιδᾶς, ἐρατῶν ὕμνους
Σαμίων περὶ παίδων ἐρατᾷ φθεγγομένα λύρᾳ.

XV. *Ε Ξ Α Δ Η Λ Ω Ν Ε Ι Δ Ω Ν.*

45. [78.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓

Δεῦρ' ἄγε Καλλιόπεια λίγεια.

46.

. . . ⏑ – ⏑ ⏑́⏑ ⏑ – ⏑ –́ ⏑ ⏓

Μέτειμι δ' ἐφ' ἕτερον προοίμιον.

48. [71.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ –́ ⏓

Αὐτόν σε Πυλαμάχε πρῶτον.

49. [84.]

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ – –

Κοιλωνύχων ἵππων πρύτανις, Ποσειδάν.

50. [68.]

. . . . ⏑ ⏑ – ⏑ – ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

. . . . *Μάλα τοι μάλιστα*
παιγμοσύνας φιλέει μολπάς τ' Ἀπόλλων·
κάδεα δὲ στοναχάς τ' Ἀΐδας ἔλαχεν.

51. [79.]

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏓
– –́ . . . .

Ἀτελέστατα γὰρ καὶ ἀμάχανα τοὺς θανόντας
κλαίειν.

52. [80.]

⏑ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓

Θανόντος ἀνδρὸς πᾶσ' ἀπολείπεται ἀνθρώπων χ

53. [77.]

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –́ ⏓

Ῥαδινοὺς δ' ἐπέπεμπον ἄκοντας.

XVI.

IBYCUS.

1. [1.] *)

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏕ – ⏑ ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –́ –
–́ ⏑ ⏑ – –́ ⏑ – ⏑ – –

*) Numeri adiecti sunt editionis Schneidewinianae.

Ἦρι μὲν αἵ τε Κυδώνιαι — στρ.
μηλίδες ἀρδόμεναι ῥοᾶν
ἐκ ποταμῶν, ἵνα παρθένων
κῆπος ἀκήρατος, αἵ τ' οἰνανθίδες
αὐξόμεναι σκιεροῖσιν ὑφ' ἕρνεσιν
οἰναρέοις θαλέθοισιν· ἐμοὶ δ' ἔρος
οὐδεμίαν κατάκοιτος ὥραν, ἅθ' ὑπὸ στεροπᾶς φλέγων
Θρηΐκιος βορέας,
ἅσσων παρὰ Κύπριδος ἀζαλέαις μανίαισιν ἐρεμνὸς ἀθαμβὴς
ἐγκρατέως παιδόθεν φυλάσσει

ἡμετέρας φρένας. — ἀντ.

2. [2.]

⏑ ⏑–́⏑⏑–⏑⏑–́⏑⏑–⏑⏑–́⏑⏑–⏑⏑–́⏑⏑–
– –́⏑⏑–⏑⏑–⏑⏑–⏓–́⏑⏑–⏑⏑––
– –́⏑⏑–⏑⏑–́⏑⏑⏓
–́ ⏑⏑–⏑⏑–⏑⏑–⏑⏑–⏑⏑–⏑⏑––
⏑ ⏑–́⏑⏑–⏑⏑–́⏑⏑–

Ἔρος αὖτέ με κυανέοισιν ὑπὸ βλεφάροις τακέρ' ὄμμασι δερκόμενος
κηλήμασι παντοδαποῖς ἐς ἄπειρα δίκτυα Κύπριδι βάλλει·
ἦ μὰν τρομέω νιν ἐπερχόμενον,
ὥστε φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γήραϊ ἀέκων
σὺν ὄχεσφι θοοῖς ἐς ἅμιλλαν ἔβα.

3.

⏑ ⏑–́––⏑⏑–́⏑⏑–́⏑⏑–⏑⏑–⏓

Φλεγέθων, ᾇπερ κατὰ νύκτα μακρὰν σείρια παμφανόωντα.

4. [3.]

⏓ –́⏑⏑–⏑⏑–⏑⏑–⏑⏑–⏑⏑

Αἰεί μ', ὦ φίλε θυμέ, τανύπτερος ὡς ὄκα πορφυρίς.

5. [4.]

–́⏑⏑––́⏑⏑–⏑⏑
* * * * * *
–́⏑⏑–⏑⏑–⏑⏑–⏑⏑
–́⏑⏑–⏑⏑––⏑⏑–⏑⏑–⏑⏑–⏓

Εὐρύαλε, γλαυκέων Χαρίτων θάλος,
* * * * * *
καλλικόμων μελέδημα, σὲ μὲν Κύπρις
ἅ τ' ἀγανοβλέφαρος Πειθὼ ῥοδέοισιν ἐν ἄνθεσι θρέψα

6. [7.]

´– ◡ ◡ – ◡ ◡ – ◡ ◡ – ◡
´– ◡ ◡ – ◡ ◡ – ◡ – ◡ – ◡

Μύρτα τε καὶ ἴα καὶ ἑλίχρυσος,
μᾶλά τε καὶ ῥόδα καὶ τέρεινα δάφνα.

7. [8.]

´– ◡ ◡ – ´– ◡ ◡ – ◡ ◡ – ´– ◡ ◡ – ◡ –

Τᾶμος ἄϋπνος κλυτὸς ὄρθρος ἐγείρησιν ἀηδόνας.

9. [15.]

– ´– ◡ ◡ – – ´– ◡ ◡ – ◡ ◡ – – ´– ◡ ◡ – ◡
´– ◡ ◡ – ◡ ◡ –

Γλαυκώπιδα Κασσάνδραν, ἐρασιπλόκαμον κούραν Πριάμου
φᾶμις ἔχησι βροτῶν.

16. [27.]

´– ◡ – – ´– ◡ –
´◡◡ ◡ – ◡ ´– ◡ –
´– ◡ ◡ – ◡ ◡ – ´– ◡ ◡ – –
´– ◡ ◡ – ◡ ◡ – ◡ ◡ – ◡ ◡ – ◡ ◡ –

Τούς τε λευκίππους κόρους
τέκνα Μολιόνας κτάνον,
ἅλικας ἰσοκεφάλους, ἑνιγυίους,
ἀμφοτέρους γεγαῶτας ἐν ὠέῳ ἀργυρέῳ.

17. [43.]

Πυκινὰς πέμφιγας πιόμενοι.

20. [37.]

Οὐδὲ Κνάρης ὁ Μήδων στρατηγός.

21. [52.]

–́– ◡ ◡ – ◡ ◡ – ◡ ◡ – ◡ – –

Δαρὸν δ' ἄνεω χρόνον ἧστο τάφει πεπηγώς.

22. [32. 33. 34.]

.. ◡ ◡ – ◡̄
◡́◡ ◡ – – –́ ◡ ◡ – ◡ ◡ –
–́ ◡ ◡ – ◡ ◡ – –́ –
–́ ◡ ◡ – ◡ ◡ – ◡ – ◡

.. Παρὰ χέρσον
λίθινον ἔκλεκτον παλάμαισι βροτῶν·
πρόσθε δέ νιν πεδ' ἀναριτᾶν
ἰχθύες ὠμοφάγοι νέμοιντο.

24. [51].

◡ –́ ◡ – ◡ –́ ◡ –
–́ ◡ – – –́ ◡ – – –́ ◡ – –

Δέδοικα, μή τι παρ θεοῖς
ἀμβλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψω.

26. [39].

◡ ◡ –́ ◡ ◡ – ◡ ◡ – ◡ –́ ◡ ◡ – ◡ ◡ – ◡ – –

Ἔριδος ποτὶ μάργον ἔχων στόμ' ἀντία δῆριν ἐμοὶ κορύσσοι.

27.

– –́ ◡ ◡ – ◡ ◡ – – –́ ◡ ◡ – ◡ ◡ – –

Οὐκ ἔστιν ἀποφθιμένοις ζωᾶς ἔτι φάρμακον εὑρεῖν.

XVII.

A N A C R E O N.

ΕΙΣ ΑΡΤΕΜΙΝ.

1. [1.] *)

Γουνοῦμαί σ᾽, ἐλαφηβόλε,
ξανθὴ παῖ Διός, ἀγρίων
δέσποιν᾽ Ἄρτεμι θηρῶν·
ἥκου νῦν ἐπὶ Ληθαίου
δίνῃσι· θρασυκαρδίων
ἀνδρῶν ἐγκαθόρα πόλιν
χαίρουσ᾽· οὐ γὰρ ἀνημέρους
ποιμαίνεις πολιήτας.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

2. [2.]

Ὦναξ, ᾧ δαμάλης Ἔρως
καὶ Νύμφαι κυανώπιδες
πορφυρέη τ᾽ Ἀφροδίτη
συμπαίζουσιν· ἐπιστρέφεαι δ᾽
ὑψηλῶν κορυφὰς ὀρέων,
γουνοῦμαί σε· σὺ δ᾽ εὐμενὴς
ἔλθ᾽ ἡμῖν, κεχαρισμένης δ᾽
εὐχωλῆς ἐπακούειν.
Κλευβούλῳ δ᾽ ἀγαθὸς γένευ
σύμβουλος· τὸν ἐμὸν δ᾽ ἔρωτ᾽,
ὦ Δεύνυσε, δέχεσθαι.

3. [3.]

Κλευβούλου μὲν ἔγωγ᾽ ἐρῶ,
Κλευβούλῳ δ᾽ ἐπιμαίνομαι,
Κλεύβουλον δὲ διοσκέω.

---

*) **Numeri adiecti sunt editionis meae.**

4. [4.]

Ὦ παῖ παρθένιον βλέπων,
δίζημαί σε, σὺ δ' οὐ κίεις
οὐκ εἰδώς, ὅτι τῆς ἐμῆς
ψυχῆς ἡνιοχεύεις.

6. [7.]

Μεὶς μὲν δὴ Ποσιδηϊὼν
ἕστηκεν, νεφέλαι δ' ὕδωρ
βρύουσιν, Δία δ' ἄγριοι
χειμῶνες κατάγουσιν.

8. [8.]

Ἐγὼ δ' οὔτ' ἂν Ἀμαλθίης
βουλοίμην κέρας οὔτ' ἔτεα
πεντήκοντά τε καὶ ἑκατὸν
Ταρτησσοῦ βασιλεῦσαι.

9. [9.]

. . Τί λίην πέτεαι
συρίγγων κοϊλώτερα
στήθεα χρισάμενος μύρῳ;

13. [11.]

Ἔρως παρθένιος πόθῳ
στίλβων καὶ γεγανωμένος.

14. [15.]

Σφαίρῃ δηὖτέ με πορφυρέῃ
βάλλων χρυσοκόμης Ἔρως
νήνι ποικιλοσαμβάλῳ
συμπαίζειν προκαλεῖται·
ἡ δ', ἐστὶν γὰρ ἀπ' εὐκτίτου
Λέσβου, τὴν μὲν ἐμὴν κόμην,
λευκὴ γάρ, καταμέμφεται,
πρὸς δ' ἄλλην τινὰ χάσκει.

15.

Οὐ δηὖτ' ἔμπεδός εἰμι,
οὐδ' ἀστοῖσι προσηνής.

16. [51.]

Μυθῖται δ' ἐνὶ νήσῳ
μεγίστῃ διέπουσιν
ἱερὸν ἄστυ (Νυμφέων).

17. [16.]

Ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς,
οἴνου δ' ἐξέπιον κάδον, νῦν δ' ἁβρῶς ἐρόεσσαν
ψάλλω πηκτίδα τῇ φίλῃ κωμάζων παιδὶ ἁβρῇ.

18. [5.]

Ψάλλω δ' εἴκοσι (Λυδόν)
χορδῇσιν μαγάδην ἔχων, ὦ Λεύκασπι, σὺ δ' ἡβᾷς.

19. [17.]

Ἀρθεὶς δηὖτ' ἀπὸ Λευκάδος
πέτρης ἐς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.

20. [18.]

Τίς ἐρασμίην
τρέψας θυμὸν ἐς ἥβην τερένων ἡμιόπων ὑπ' αὐλῶν
ὀρχεῖται;

ΕΙΣ ΑΡΤΕΜΩΝΑ.

21. [19.]

Ξανθῇ δέ γ' Εὐρυπύλῃ μέλει
ὁ περιφόρητος Ἀρτέμων·
πρὶν μὲν ἔχων βερβέριον, καλύμματ' ἐσφηκωμένα,
καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσί, καὶ ψιλὸν περὶ
πλευρῇσι (δέῤῥιον) βοός,
νήπλυτον εἴλυμα κακῆς ἀσπίδος, ἀρτοπώλισιν
κἀθελοπόρνοισιν ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων,
κίβδηλον εὑρίσκων βίον·
πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχ
πολλὰ δὲ νῶτον σκυτίνῃ μάστιγι θωμιχθείς, κόμην
πώγωνά τ' ἐκτετιλμένος·
νῦν δ' ἐπιβαίνει σατινέων, χρύσεα φορέων καθέρματ
παῖς Κύκης, καὶ σκιαδίσκην ἐλεφαντίνην φορεῖ
γυναιξὶν αὔτως.

22. [20.]

Σίμαλον εἶδον ἐν χορῷ πηκτίδ᾽ ἔχοντα καλήν.

23. [21.]

Ἐκ ποταμοῦ 'πανέρχομαι πάντα φέρουσα λαμπρά.

24. [22.]

Ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις
διὰ τὸν Ἔρωτ᾽· οὐ γὰρ ἐμοὶ παῖς ἐθέλει συνηβᾶν.

25. [23.]

Ὅς μ᾽ ἐσιδὼν γένειον
ὑποπόλιον χρυσοφαέννων πτερύγων ἀήταις
παραπέτεται.

26. [24.]

Χεῖρά τ᾽ ἐν ἠγάνῳ βαλεῖν.

28. [26.]

Ἀσπίδα ῥίψας ποταμοῦ καλλιρόου παρ᾽ ὄχθας.

29. [122.]

. . . Ἐγὼ δ᾽ ἀπ᾽ αὖτις φύγον ὥστε κόκκυξ.

30. [27.]

Τὸν μυροποιὸν ἠρόμην Στράττιν εἰ κομήσει.

31. [28.]

Δακρυόεσσάν τ᾽ ἐφίλησεν αἰχμάν.

32. [29.]

Οἰνοχόει δ᾽ ἀμφίπολος μελιχρὸν
οἶνον, τρικύαθον κελέβην ἔχουσα.

33. [30.]

Οὐδ᾽ ἀργυρέη κω τότ᾽ ἔλαμπε πειθώ.

35. [32.]

Ἱπποθόρον δὲ Μυσοί
εὑρεῖν μῖξιν ὄνων πρὸς ἵππους.

36. [36.]

Αἰνοπαθῆ πατρίδ' ἐπόψομαι.

37. [34.]

Τίλλει τοὺς κυάμους ἀσπιδιώτης.

38. [35.]

Χήλινον ἄγγος
ἔχον πυθμένας ἀγγειοσελίνων.

39. [36.]

Ἀσημων ὑπὲρ ἑρμάτων φορεῦμαι.

40. [37.]

Πλεκτὰς δ' ὑποθυμίδας
περὶ στήθεσι λωτίνας ἔθεντο.

41. [38.]

Σὲ γάρ φη
Ταργήλιος ἐμμελέως
δισκεῖν.

42. [39.]

Ὁ Μεγίστης δ' ὁ φιλόφρων δέκα δὴ μῆνες, ἐπεὶ
στεφανοῦταί τε λύγῳ καὶ τρύγα πίνει μελιηδέα.

43. [40.]

Καθαρῇ δ' ἐν κελέβῃ πέντε τε καὶ τρεῖς ἀναχείσθ

44. [41.]

Πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι κάρη τε λευκόν,
χαρίεσσα δ' οὐκέθ' ἥβη πάρα, γηράλεοι δ' ὀδόντ

γλυκεροῦ δ' οὐκέτι πολλὸς βιότου χρόνος λέλειπτ
διὰ ταῦτ' ἀνασταλύζω θαμὰ Τάρταρον δεδοικώς.

Ἀΐδεω γάρ ἐστι δεινὸς μυχός, ἀργαλέη δ' ἐς αὐτόν κάθοδος· καὶ γὰρ ἑτοῖμον καταβάντι μὴ ἀναβῆναι.

45. [42.]

Ἐμὲ γὰρ λόγων (ἐμῶν) εἵνεκα παῖδες ἂν φιλοῖεν·
χαρίεντα μὲν γὰρ ᾄδω, χαρίεντα δ' οἶδα λέξαι.

46. [43.]

Ἐραμαι (δέ) τοι συνηβᾶν· χαριτεῦν ἔχεις γὰρ ἦθος.

47. [44.]

Ἀστραγάλαι δ' Ἔρωτός εἰσιν μανίαι τε καὶ κύδοιμοι.

(ΠΡΟΣ ΣΜΕΡΔΙΗΝ.)

48. [45.]

Μεγάλῳ δηὖτέ μ' Ἔρως ἔκοψεν ὥστε χαλκεύς
πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.

49. [46.]

Ἀπέκειρας δ' ἁπαλῆς κόμης ἄμωμον ἄνθος.

---

51. [48.]

Ἀπό μοι θανεῖν γένοιτ'· οὐ γὰρ ἂν ἄλλη
λύσις ἐκ πόνων γένοιτ' οὐδαμὰ τῶνδε.

52. [49.]

Ἀγανῶς οἷά τε νεβρὸν νεοθηλέα
γαλαθηνόν, ὅστ' ἐν ὕλῃς κεροέσσης
ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη.

53. [50.]

Σινάμωροι πολεμίζουσι θυρωρῷ.

54. [52.]

Σικελὸν κότταβον ἀγκύλῃ παΐζων.

55. [53.]

Ἐπὶ δ' ὀφρύσιν σελίνων στεφανίσκους
θέμενοι θάλειαν ὀρτὴν ἀγάγωμεν
Διονύσῳ.

56. [54.]

Διονύσου σαῦλαι Βασσαρίδες.

* 57. [55.]

Οὐδ' αὖ μ' ἐάσεις μεθύοντ' οἴκαδ' ἀπελθεῖν;

58. [56.]

Φίλη γὰρ εἶ ξένοις, ἔασον δέ με διψῶντα πιεῖν.

62. [60.]

Παρὰ δηῦτε Πυθόμανδρον
κατέδυν Ἔρωτα φεύγων.

63. [61.]

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ,
φέρε δ' ἀνθεμεῦντας ἡμὶν
στεφάνους, ἔνεικον, ὡς δὴ
πρὸς Ἔρωτα πυκταλίζω.

64. [62.]

Ἄγε δή, φέρ' ἡμίν, ὦ παῖ,
κελέβην, ὅκως ἄμυστιν
προπίω, τὰ μὲν δέκ' ἐγχέας
ὕδατος, τὰ πέντε δ' οἴνου
κυάθους, ὡς ἀνυβριστί
ἀνὰ δηῦτε βασσαρήσω.

* * *

Ἄγε δηῦτε μηκέθ' οὕτω
πατάγῳ τε κἀλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἴνῳ
μελετῶμεν, ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν ὕμνοις.

---

67. [66.]

Ἁδυμελές, χαρίεσσα χελιδοῖ.

68. [67.]

Μνᾶται δηὖτε φαλακρὸς Ἄλεξις.

69. [73.]

Καλλίκομοι κοῦραι Διὸς ὠρχήσαντ᾽ ἐλαφρῶς.

70. [74.]

Ὀρσόλοπος μὲν Ἄρης φιλέει μεναίχμαν.

71. [75.]

Οὔτε γὰρ ἡμετέρειον οὔτε καλόν.

72. [76.]

Νῦν δ᾽ ἀπὸ μὲν πόλεως στέφανος ὄλωλεν.

73. [77.]

Βούλεται ἀπεροπεὺς ἐφ᾽ ἡμὶν εἶναι.

74. [78.]

. . . . Ἐγὼ δὲ μισέω
πάντας, ὅσοι χθονίους ἔχουσι ῥυσμοὺς
καὶ χαλεπούς· μεμάθηκά σ᾽, ὦ Μεγίστη,
τῶν ἀβακιζομένων.

---

75. [79.]

Πῶλε Θρηκίη, τί δή με λοξὸν ὄμμασιν βλέπουσα
νηλεῶς φεύγεις, δοκέεις δέ μ᾽ οὐδὲν εἰδέναι σοφόν;

ἴσθι τοι, καλῶς μὲν ἄν τοι τὸν χαλινὸν ἐμβάλοιμι,
ἡνίας δ᾽ ἔχων στρέφοιμί σ᾽ ἀμφὶ τέρματα δρόμου.

νῦν δὲ λειμῶνάς τε βόσκεαι κοῦφά τε σκιρτῶσα παίζεις·
δεξιὸν γὰρ ἱπποσείρην οὐκ ἔχεις ἐπεμβάτην.

76. [80.]

Κλῦθί μευ γέροντος εὐέθειρε χρυσόπεπλε κούρα.

77. [81.]

Εὖτέ μοι λευκαὶ μελαίναις ἀναμεμίξονται τρίχες.

78 [82]

(Ἐν) μελαμφύλλῳ δάφνᾳ χλωρᾷ τ' ἐλαίᾳ τανταλίζει.

79. [83.]

Κο[illegible]σον δ', ὦ Ζεῦ, σόλοικον φθόγγον.

80. [98.]

Διὰ δέρην ἔκοψε μέσσην, καδ δὲ λῶπος ἐσχίσθη.

---

82. [94.]

Ἐγὼ δ' ἔχων σκύπφον Ἐρξίωνι
τῷ Λευκολόφου μεστὸν ἐξέπινον.

83. [95.]

Στεφάνους ὁ δ' ἀνὴρ τρεῖς ἕκαστος εἶχεν,
τοὺς μὲν ῥοδίνους, τὸν δὲ Ναυκρατίτην.

84. [85.]

Ἔστε ξένοισι μειλίχοις ἐοικότες,
στέγης τε μοῦνον καὶ πυρὸς κεχρημένοις.

85. [86.]

Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

86. [84.]

Καὶ θάλαμος, ἐν τῷ κεῖνος οὐκ ἔγημεν, ἀλλ' ἐγήματο.

87. [87.]

Κνίζη τις ἤδη καὶ πέπειρα γίνομαι
σὴν διὰ μαργοσύνην.

88. [88.]

Κοὐ μοχλὸν ἐν θύρῃσι διξῇσιν βαλὼν
ἥσυχος καθεύδει.

89. [89.]

Ἐρῶ τε δηὖτε κοὐκ ἐρῶ
καὶ μαίνομαι κοὐ μαίνομαι.

90. [90.]

Μηδ' ὥστε κῦμα πόντιον
λάλαζε, τῇ πολυκρότῃ
σὺν Γαστροδώρῃ καταχύδην
πίνουσα τὴν ἐπίστιον.

91. [91.]

Διὰ δηὖτε Καρικευργέος
ὀχάνοιο χεῖρα τιθέμεναι.

92. [92.]

Ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γάρ, μαχέσθω.

93. [93.]

Ὠρανὲ δὴ λίην,
πολλοῖσι γὰρ μέλεις.

ΕΛΕΓΕΙΑ.

94. [69.]

Οὐ φιλέω, ὃς κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει,
ἀλλ' ὅστις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων ἐρατῆς μνήσκεται εὐφροσύνης.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

100. [Ep. 15.]

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
πᾶσ' ἐπὶ πυρκαΐῆς ἥδ' ἐβόησε πόλις·
οὔτινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
ἠνάρισεν στυγερῆς ἐν στροφάλιγγι μάχης.

101. [Ep. 14.]

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα·
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

102. [Ep. 2.]

Οὗτος Φειδόλα ἵππος ἀπ' εὐρυχόροιο Κορίνθου
ἄγκειται Κρονίδᾳ, μνᾶμα ποδῶν ἀρετᾶς.

103. [Ep. 9.]

Σ[illegible] τε χάριν, Διόνυσε, καὶ ἀγλαὸν ἄστεϊ κόσμον
Θεσσαλίας μ' ἀνέθηκ' ἀρχὸς Ἐχεκρατίδας.

104. [Ep. 5.]

Πρὶν μὲν Καλλιτέλης μ' ἱδρύσατο· τόνδε δ' ἐκείνου
ἔκγονοι ἐστάσανθ', οἷς χάριν ἀντιδίδου.

105. [Ep. 6.]

Πραξαγόρας τάδε δῶρα θεοῖς ἀνέθηκε, Λυκαίου
υἱός· ἐποίησεν δ' ἔργον Ἀναξαγόρας.

106. [Ep. 7.]

Παιδὶ φιλοστεφάνῳ Σεμέλας ἀνέθηκε Μέλανθος,
μνᾶμα χοροῦ νίκας υἱὸς Ἀρηϊφίλου.

107. [Ep. 8.]

Ῥυσαμένη Πύθωνα δυσηχέος ἐκ πολέμοιο
ἀσπὶς Ἀθηναίης ἐν τεμένει κρέμαται.

108. [Ep. 1.]

Ἡ τὸν θύρσον ἔχουσ' Ἑλικωνιάς, ἥ τε παρ' αὐτήν
Ξανθίππη, Γλαύκη τ' ἐνσχερὼ ἐρχομένη,
ἐξ ὄρεος χωρεῦσι, Διωνύσῳ δὲ φέρουσιν
κισσὸν καὶ σταφυλὴν πίονα καὶ χίμαρον.

109. [Ep. 3.]

Πρηξιδίκη μὲν ἔρεξεν, ἐβούλευσεν δὲ Δύσηρις
εἷμα τόδε· ξυνὴ δ' ἀμφοτέρων σοφίη.

110. [Ep. 4.]

Πρόφρων, Ἀργυρότοξε δίδου χάριν Αἰσχύλου υἱῷ
Ναυκράτει, εὐχωλὰς τάσδ' ὑποδεξάμενος.

111. [Ep. 10.]

Εὔχεο Τιμώνακτι θεῶν κήρυκα γενέσθαι
ἤπιον, ὅς μ' ἐρατοῖς ἀγλαΐην προθύροις
Ἑρμῇ τε κρείοντι καθέσσατο· τὸν δ' ἐθέλοντα
ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.

112. [Ep. 13.]

Τέλλιδι ἱμερόεντα βίον πόρε, Μαιάδος υἱέ,
ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος·
δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
ναίειν αἰῶνος μοῖραν ἔχοντ' ἀγαθήν.

113. [Ep. 16.]

Καὶ σέ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ·
ὥρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σὴν
κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

114. [Ep. 19.]

Ἀλκίμων σ', ὡριστοκλείδη, πρῶτον οἰκτείρω φίλων,
ὤλεσας δ' ἥβην, ἀμύνων πατρίδος δουληΐην.

115. [Ep. 17.]

Βουκόλε τὰν ἀγέλαν πόῤῥω νέμε, μὴ τὸ Μύρωνος
βοΐδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

116. [Ep. 18.]

Βοΐδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ' ὑπὸ γήρως
χαλκωθέν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.

XVIII.

ANACREONTEA.

1. [65.] *)

Ἀνακρέων ἰδών με,
ὁ Τήϊος μελῳδός,
ὄναρ λέγων προςεῖπεν·
κἀγὼ δραμὼν πρὸς αὐτόν
περιπλάκην φιλήσας.
γέρων μὲν ἦν, καλὸς δέ,
καλός γε καὶ φίλευνος·
τὸ χεῖλος ὦζεν οἴνου·
τρέμοντα δ' αὐτὸν ἤδη
Ἔρως ἐχειραγώγει.
ὁ δ' ἐξελὼν καρήνου
ἐμοὶ στέφος δίδωσιν·
τὸ δ' ὦζ' Ἀνακρέοντος.
ἐγὼ δ' ὁ μωρὸς ἄρας
ἐδησάμην μετώπῳ.
καὶ δῆθεν ἄχρι καὶ νῦν
ἔρωτος οὐ πέπαυμαι.

2. [48.]

ΤΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΙΟΥ.

Δότε μοι λύρην Ὁμήρου
φονίης ἄνευθε χορδῆς·
φέρε μοι κύπελλα θεσμῶν,
φέρε μοι· νόμους κεράσσω,
μεθύων ὅπως χορεύσω,
ὑπὸ σώφρονος δὲ λύσσης
μετὰ βαρβίτων ἀείδων
τὸ παροίνιον βοήσω.
δότε μοι λύρην Ὁμήρου
φονίης ἄνευθε χορδῆς.

2. B. [49.]

(ΑΛΛΟ.)

Ἄγε ζωγράφων ἄριστε,
λυρικῆς ἄκουε μούσης·
φιλοπαίγμονες δὲ Βάκχαι
. . . .
γράφε τὰς πόλεις τὸ πρῶτον
ἱλαράς τε καὶ γελώσας.
. . . .
ἑτεροπνόους ἐναύλους·
ὁ δὲ κηρὸς ἂν δύναιτο,
γράφε καὶ νόμους φιλού—

*) Numeri adiecti sunt editionum vulgarium.

3. [17.]

ΕΙΣ ΠΟΤΗΡΙΟΝ ΑΡΓΥΡΟΥΝ.

Τὸν ἄργυρον τορεύων
Ἥφαιστέ μοι ποίησον
πανοπλίαν μὲν οὐχί,
τί γὰρ μάχαισι κἀμοί;
ποτήριον δὲ κοῖλον,
ὅσον δύνῃ, βαθύνας.
ποίει δέ μοι κατ᾽ αὐτοῦ
μήτ᾽ ἄστρα μήτ᾽ ἄμαξαν,
μὴ στυγνὸν Ὠρίωνα·
τί Πλειάδων μέλει μοι;
τί γὰρ καλοῦ Βοώτου;
ποίησον ἀμπέλους μοι,
καὶ βότρυας κατ᾽ αὐτῶν,
καὶ Μαινάδας τρυγώσας.
ποίει δὲ ληνὸν οἴνου
ληνοβάτας πατοῦντας,
τοὺς Σατύρους γελῶντας,
καὶ χρυσοῦς τοὺς Ἔρωτας,
καὶ Κυθήρην γελῶσαν,
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα κἀφροδίτην.

4. [18.]

ΑΛΛΟ ΕΙΣ ΤΟ ΑΥΤΟ ΠΟΤΗΡΙΟΝ.

Καλλιτέχνα τόρευσον
ἔαρος κύπελλον ἤδη·
τὰ πρῶτ᾽ ἡμῖν τὰ τερπνὰ
ῥόδα φέρουσαν Ὥρην.
τὸν ἄργυρον δ᾽ ἁπλώσας
ποίει πότον μοι τερπνόν,
μὴ τῶν, παραινῶ, τελετῶν
μὴ ξένον μοι τορεύσῃς,
μὴ φευκτὸν ἱστόρημα·
μᾶλλον ποίει Διὸς γόνον
Βάκχον Εὔϊον ἡμῖν·
μύστις νάματος ἡ Κύπρις
ὑμεναίοις κροτῶσα.
χάρασσ᾽ Ἔρωτας ἀνόπλους
καὶ Χάριτας γελώσας
ὑπ᾽ ἄμπελον εὐπέταλον,
εὐβότρυον,. κομῶσαν·
σύναπτε κούρους εὐπρεπεῖς·
ἅμα Φοῖβος ἀθύροι.

5. [59.]

(ΙΟΥΛΙΑΝΟΥ) ΕΙΣ ΕΡΩΤΑ.

Στέφος πλέκων ποθ᾽ εὗρον
ἐν τοῖς ῥόδοις Ἔρωτα·
καὶ τῶν πτερῶν κατασχὼν
ἐβάπτισ᾽ εἰς τὸν οἶνον,
λαβὼν δ᾽ ἔπιον αὐτόν·
καὶ νῦν ἔσω μελῶν μου
πτεροῖσι γαργαλίζει.

6. [11.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Λέγουσιν αἱ γυναῖκες,
Ἀνακρέων γέρων εἶ·
λαβὼν ἔσοπτρον ἄθρει
κόμας μὲν οὐκέτ' οὔσας,
ψιλὸν δέ σευ μέτωπον.
ἐγὼ δὲ τὰς κόμας μέν,
εἴτ' εἰσίν, εἴτ' ἀπῆλθον,
οὐκ οἶδα· τοῦτο δ' οἶδα,
ὡς τῷ γέροντι μᾶλλον
πρέπει τὸ τερπνὰ παίζειν,
ὅσῳ πέλας τὰ Μοίρης.

7. [15.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Οὔ μοι μέλει τὰ Γύγεω,
τοῦ Σαρδίων ἄνακτος·
οὐδ' εἷλέ πώ με ζῆλος,
οὐδὲ φθονῶ τυράννοις.
ἐμοὶ μέλει μύροισιν
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισιν
καταστέφειν κάρηνα.
τὸ σήμερον μέλει μοι,
τὸ δ' αὔριον τίς οἶδεν;
ὡς οὖν ἔτ' εὔδι' ἐστιν,
καὶ πῖνε καὶ κύβευε,
καὶ σπένδε τῷ Λυαίῳ,
μὴ νοῦσος, ἤν τις ἔλθῃ,
λέγῃ σε μὴ δεῖ πίνειν.

8. [31.]

ΕΙΣ ΕΑΥΤΟΝ ΜΕΜΕΘΥΣΜΕΝΟΝ.

Ἄφες με, τοὺς θεούς σοι,
πιεῖν πιεῖν ἀμυστί·
θέλω θέλω μανῆναι.
ἐμαίνετ' Ἀλκμαίων τε
χὠ λευκόπους Ὀρέστης,
τὰς μητέρας κτανόντες·
ἐγὼ δὲ μηδένα κτάς,
πιὼν δ' ἐρυθρὸν οἶνον
θέλω θέλω μανῆναι.
ἐμαίνετ' Ἡρακλῆς πρίν
δεινὴν κλονῶν φαρέτρην
καὶ τόξον Ἰφίτειον.
ἐμαίνετο πρὶν Αἴας
μετ' ἀσπίδος κραδαίνων
τὴν Ἕκτορος μάχαιραν·
ἐγὼ δ' ἔχων κύπελλον
καὶ στέμμα τοῦτο χαίτε
οὐ τόξον, οὐ μάχαιραν
θέλω θέλω μανῆναι.

9. [12.]

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Τί σοι θέλεις ποιήσω,
τί σοι, λάλη χελιδόν;
τὰ ταρσά σευ τὰ κοῦφα
θέλεις λαβὼν ψαλίξω;
ἢ μᾶλλον ἔνδοθέν σευ
τὴν γλῶσσαν, ὡς ὁ Τηρεὺς
ἐκεῖνος, ἐκθερίξω;
τί μευ καλῶν ὀνείρων
ὑπορθρίαισι φωναῖς
ἀφήρπασας Βάθυλλον;

10. [77.]

ΕΙΣ ΕΡΩΤΑ ΚΗΡΙΝΟΝ.

Ἔρωτα κήρινόν τις
νεηνίης ἐπώλει·
ἐγὼ δέ οἱ παραστάς,
πόσου θέλεις, ἔφην, σοί
τὸ τυχθὲν ἐκπρίωμαι;
ὁ δ᾽ εἶπε δωριάζων,
λάβ᾽ αὐτὸν ὁππόσου λῇς·
ὅπως δ᾽ ἂν ἐκμάθῃς πᾶν,
οὐκ εἰμὶ καροτέχνας·
ἀλλ᾽ οὐ θέλω συνοικεῖν
Ἔρωτι παντορέκτᾳ.
δὸς οὖν, δὸς αὐτὸν ἡμῖν
δραχμῆς, καλὸν σύνευνον.
Ἔρως, σὺ δ᾽ εὐθέως με
πύρωσον· εἰ δὲ μή, σύ
κατὰ φλογὸς τακήσῃ.

11. [13.]

ΕΙΣ ΑΤΤΙΝ.

Οἱ μὲν καλὴν Κυβήβην
τὸν ἡμίθηλυν Ἄττιν
ἐν οὔρεσιν βοῶντα
λέγουσιν ἐκμανῆναι.
οἱ δὲ Κλάρου παρ᾽ ὄχθαις
δαφνηφόροιο Φοίβου
λάλον πιόντες ὕδωρ
μεμηνότες βοῶσιν.
ἐγὼ δὲ τοῦ Λυαίου
καὶ τοῦ μύρου κορεσθεὶς
καὶ τῆς ἐμῆς ἑταίρης
θέλω θέλω μανῆναι.

12. [14.]

ΕΙΣ ΕΡΩΤΑ.

Θέλω θέλω φιλῆσαι·
ἔπειθ᾽ Ἔρως φιλεῖν με,
ἐγὼ δ᾽ ἔχων νόημα
ἄβουλον οὐκ ἐπείσθην.
ὁ δ᾽ εὐθὺ τόξον ἄρας
καὶ χρυσέην φαρέτρην

μάχῃ με προὐκαλεῖτο.
κἀγὼ λαβὼν ἐπ' ὤμων
θώρηχ', ὅπως Ἀχιλλεύς,
καὶ δοῦρα καὶ βοείην,
ἐμαρνάμην Ἔρωτι.
ἔβαλλ', ἐγὼ δ' ἔφευγον·
ὡς δ' οὐκ ἔτ' εἶχ' ὀϊστούς,
ἤσχαλλεν· εἶτ' ἑαυτόν
ἀφῆκεν εἰς βέλεμνον,
μέσος δὲ καρδίης μευ
ἔδυνε, καί μ' ἔλυσεν·
μάτην δ' ἔχω βοείην·
τί γὰρ βάλωμεν ἔξω,
μάχης ἔσω μ' ἐχούσης;

13. [32.]

ΕΙΣ ΤΟΥΣ ΕΑΥΤΟΥ ΕΡΩΤΑΣ.

*Εἰ φύλλα πάντα δένδρων
ἐπίστασαι κατειπεῖν,
εἰ κύματ' οἶδας εὑρεῖν
τὰ τῆς ὅλης θαλάσσης,
σὲ τῶν ἐμῶν ἐρώτων
μόνον ποῶ λογιστήν.
πρῶτον μὲν ἐξ Ἀθηνῶν
ἔρωτας εἴκοσιν θές
καὶ πεντεκαίδεκ' ἄλλους.
ἔπειτα δ' ἐκ Κορίνθου
θὲς ὁρμαθοὺς ἐρώτων·
Ἀχαΐης γάρ ἐστιν,
ὅπου καλαὶ γυναῖκες.
τίθει δὲ Λεσβίους μοι
καὶ μέχρι τῶν Ἰώνων
καὶ Καρίης Ῥόδου τε
δισχιλίους ἔρωτας.
τί φῄς; ἐκηριώθης;
οὔπω Σύρους ἔλεξα,
οὔπω πόθους Κανώβου,
οὐ τῆς ἅπαντ' ἐχούσης
Κρήτης, ὅπου πόλεσσιν
Ἔρως ἐποργιάζει.
τί σοι θέλεις ἀριθμεῖν
καὶ τοὺς Γαδείρων ἐκτός,
τοὺς Βακτρίων τε κἰνδῶν
ψυχῆς ἐμῆς ἔρωτας;*

14. [9.]

ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ.

*Ἐρασμίη πέλεια,
πόθεν πόθεν πετᾶσαι;
πόθεν μύρων τοσούτων
ἐπ' ἠέρος θέουσα
πνέεις τε καὶ ψεκάζεις;
τίς εἶ; τί σοι μέλει δέ;
Ἀνακρέων μ' ἔπεμψεν
πρὸς παῖδα, πρὸς Βάθυλλον,
τὸν ἄρτι τῶν ἁπάντων
κρατοῦντα καὶ τύραννον.
πέπρακέ μ' ἡ Κυθήρη
λαβοῦσα μικρὸν ὕμνον·
ἐγὼ δ' Ἀνακρέοντι
διακονῶ τοσαῦτα·
καὶ νῦν, ὁρᾷς, ἐκείνου
ἐπιστολὰς κομίζω·*

καί φησιν εὐθέως με
ἐλευθέρην ποιήσειν.
ἐγὼ δέ, κἢν ἀφῇ με,
δούλη μενῶ παρ' αὐτῷ·
τί γάρ με δεῖ πέτασθαι
ὄρη τε καὶ κατ' ἀγρούς,
καὶ δένδρεσιν καθίζειν
φαγοῦσαν ἄγριόν τι;
τανῦν ἔδω μὲν ἄρτον
ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·
πιεῖν δέ μοι δίδωσιν
τὸν οἶνον, ὃν προπίνει·
πιοῦσα δ' ἂν χορεύσω,
καὶ δεσπότην γέροντα
πτεροῖσι συγκαλύψω.
κοιμωμένη δ' ἐπ' αὐτῷ
τῷ βαρβίτῳ καθεύδω.
ἔχεις ἅπαντ'· ἄπελθε·
λαλιστέραν μ' ἔθηκας,
ἄνθρωπε, καὶ κορώνης.

15. [28.]

ΕΙΣ ΚΟΡΗΝ.

Ἄγε ζωγράφων ἄριστε,
γράφε ζωγράφων ἄριστε,
Ῥοδίης κοίρανε τέχνης,
ἀπεοῦσαν, ὡς ἂν εἴπω,
γράφε τὴν ἐμὴν ἑταίρην.
γράφε μοι τρίχας τὸ πρῶτον
ἁπαλάς τε καὶ μελαίνας·
ὁ δὲ κηρὸς ἂν δύνηται,
γράφε καὶ μύρου πνεούσας.
γράφε δ' ἐξ ὅλης παρειῆς
ὑπὸ πορφυραῖσι χαίταις
ἐλεφάντινον μέτωπον.
τὸ μεσόφρυον δὲ μή μοι
διάκοπτε, μήτε μίσγε·
ἐχέτω δ', ὅπως ἐκείνη,
τὸ λεληθότως σύνοφρυν
βλεφάρων ἴτυν κελαινήν.
τὸ δὲ βλέμμα νῦν ἀληθῶς
ἀπὸ τοῦ πυρὸς ποίησον,
ἅμα γλαυκόν, ὡς Ἀθήνης,
ἅμα δ' ὑγρόν, ὡς Κυθήρης.
γράφε ῥῖνα καὶ παρειάς,
ῥόδα τῷ γάλακτι μίξας.
γράφε χεῖλος, οἷα Πειθοῦς,
προκαλούμενον φίλημα.
τρυφεροῦ δ' ἔσω γενείου
περὶ λυγδίνῳ τραχήλῳ
Χάριτες πέτοιντο πᾶσαι.
στόλισον τὸ λοιπὸν αὐτήν
ὑποπορφύροισι πέπλοις·
διαφαινέτω δὲ σαρκῶν
ὀλίγον, τὸ σῶμ' ἐλέγχον.
ἀπέχει· βλέπω γὰρ αὐτήν.
τάχα κηρὲ καὶ λαλήσεις.

16. [29.]

ΕΙΣ ΝΕΩΤΕΡΟΝ ΒΑΘΥΛΛΟΝ.

Γράφε μοι Βάθυλλον οὕτω
τὸν ἑταῖρον, ὡς διδάσκω.
λιπαρὰς κόμας ποίησον,
τὰς μὲν ἔνδοθεν μελαίνας,

τὰς δ' ἐς ἄκρον ἡλιώσας·
ἕλικας δ' ἐλευθέρους μοι
πλοκάμων ἄτακτα συνθείς
ἄφες, ὡς θέλωσι, κεῖσθαι.
ἁπαλὸν δὲ καὶ δροσῶδες
στεφέτω μέτωπον ὀφρῦς
κυανωτέρη δρακόντων.
μέλαν ὄμμα γοργὸν ἔστω,
κεκερασμένον γαλήνῃ,
τὸ μὲν ἐξ Ἄρηος ἕλκον,
τὸ δὲ τῆς καλῆς Κυθήρης,
ἵνα τις τὸ μὲν φοβῆται,
τὸ δ' ἀπ' ἐλπίδος κρεμᾶται·
ῥοδίνην δ' ὁποῖα μῆλον
χνοΐην ποίει παρειήν·
ἐρύθημα δ', ὡς ἂν Αἰδοῦς
δύνασαι βαλεῖν, ποίησον.
τὸ δὲ χεῖλος οὐκέτ' οἶδα,
τίνι μοι τρόπῳ ποιήσεις —
ἁπαλὸν γέμον τε Πειθοῦς.
τὸ δὲ πᾶν ὁ κηρὸς αὐτός
ἐχέτω λαλῶν σιωπῇ.
μετὰ δὲ πρόσωπον ἔστω
τὸν Ἀδώνιδος παρελθὼν
ἐλεφάντινος τράχηλος.
μεταμάζιον δὲ ποίει
διδύμας τε χεῖρας Ἑρμοῦ,
Πολυδεύκεος δὲ μηρούς,
Διονυσίην δὲ νηδύν.
ἁπαλῶν δ' ὕπερθε μηρῶν,
μηρῶν τὸ πῦρ ἐχόντων,
ἀφελῆ ποίησον αἰδῶ,
Παφίην θέλουσαν ἤδη.
φθονερὴν ἔχεις δὲ τέχνην,
ὅτι μὴ τὰ νῶτα δεῖξαι
δύνασαι· τὰ δ' ἦν ἀμείνω.
τί με δεῖ πόδας διδάσκειν;
λάβε μισθὸν ὅσσον εἴπῃς·
τὸν Ἀπόλλωνα δὲ τοῦτον
καθελὼν ποίει Βάθυλλον.
ἢν δ' ἐς Σάμον ποτ' ἔλθῃς[redacted]
γράφε Φοῖβον ἐκ Βαθύλλου

17. 18. [21. 22.]

ΕΡΩΤΙΚΟΝ ᾨΔΑΡΙΟΝ.

Δότε μοι, δότ' ὦ γυναῖκες
Βρομίου πιεῖν ἀμυστί·
ἀπὸ καύματος γὰρ ἤδη
προδοθεὶς ἀναστενάζω.
δότε δ' ἀνθέων ἐκείνου
στεφάνους, οἵους πυκάζω·
τὰ μέτωπά μου 'πικαίει.
τὸ δὲ καῦμα τῶν Ἐρώτων,
κραδίη, τίνι σκεπάζω;
Παρὰ τὴν σκιὴν Βαθύλλ[redacted]
κάθισον· καλὸν τὸ δένδρο[redacted]
ἁπαλὰς δ' ἔσεισε χαίτας
μαλακωτάτῳ κλαδίσκῳ.
παρὰ δ' αὐτὸν ἐρεθίζει
πηγὴ ῥέουσα πειθοῦς·
τίς ἂν οὖν ὁρῶν παρέλθ[redacted]
καταγώγιον τοιοῦτο;

19. [30.]

ΕΙΣ ΕΡΩΤΑ.

Αἱ Μοῦσαι τὸν Ἔρωτα
δήσασαι στεφάνοισιν
τῷ Κάλλει παρέδωκαν.
καὶ νῦν ἡ Κυθέρεια

ζητεῖ λύτρα φέρουσα
λύσασθαι τὸν Ἔρωτα.
κἂν λύσῃ δέ τις αὐτόν,
οὐκ ἔξεισι, μενεῖ δέ·
δουλεύειν δεδίδακται.

20. [66.]

ΑΛΛΟ.

Ἡδυμελὴς Ἀνακρέων,
ἡδυμελὴς δὲ Σαπφώ·
Πινδαρικὸν τόδε μοι μέλος
συγκεράσας τις ἐγχέοι.
τὰ τρία ταῦτά μοι δοκεῖ.
καὶ Διόνυσος εἰςελθών,
καὶ Παφίη λιπαρόχροος,
καὐτὸς Ἔρως ἂν ἐκπιεῖν.

21. [19.]

ΑΛΛΟ.

Ἡ γῆ μέλαινα πίνει,
πίνει δὲ δένδρε᾽ αὖ γῆν.
πίνει θάλασσα δ᾽ αὔρας.
ὁ δ᾽ ἥλιος θάλασσαν,
τὸν δ᾽ ἥλιον σελήνη.
τί μοι μάχεσθ᾽ ἑταῖροι
καὐτῷ θέλοντι πίνειν;

22. [20.]

ΕΙΣ ΚΟΡΗΝ.

Ἡ Ταντάλου ποτ᾽ ἔστη
λίθος Φρυγῶν ἐν ὄχθαις,
καὶ παῖς ποτ᾽ ὄρνις ἔπτη
Πανδίονος χελιδών.
ἐγὼ δ᾽ ἔσοπτρον εἴην,
ὅπως ἀεὶ βλέπῃς με·
ἐγὼ χιτὼν γενοίμην,
ὅπως ἀεὶ φορῇς με.
ὕδωρ θέλω γενέσθαι,
ὅπως σε χρῶτα λούσω·
μύρον, γύναι, γενοίμην,
ὅπως ἐγώ σ᾽ ἀλείψω.
καὶ ταινίη δὲ μαστῶν,
καὶ μάργαρον τραχήλῳ.
καὶ σάνδαλον γενοίμην·
μόνον ποσὶν πάτει με.

23. [1.]

ΕΙΣ ΚΙΘΑΡΑΝ.

Θέλω λέγειν Ἀτρείδας,
θέλω δὲ Κάδμον ᾄδειν·
ἁ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.

ἤμειψα νεῦρα πρώην
καὶ τὴν λύρην ἅπασαν,
κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους· λύρη δὲ
ἔρωτας ἀντεφώνει.
χαίροιτε λοιπὸν ἡμῖν
ἥρωες· ἡ λύρη γὰρ
μόνους Ἔρωτας ᾄδει.

24. [2.]

ΕΡΩΤΙΚΟΝ.

Φύσις κέρατα ταύροις,
ὁπλὰς δ' ἔδωκεν ἵπποις,
ποδωκίην λαγωοῖς,
λέουσι χάσμ' ὀδόντων,
τοῖς ἰχθύσιν τὸ νηκτόν,
τοῖς ὀρνέοις πέτασθαι,
τοῖς ἀνδράσιν φρόνημα.
γυναιξὶν οὐκ ἔτ' εἶχεν.
τί οὖν δίδωσι; κάλλος
ἀντ' ἀσπίδων ἁπασᾶν,
ἀντ' ἐγχέων ἁπάντων.
νικᾷ δὲ καὶ σίδηρον
καὶ πῦρ καλή τις οὖσα.

25. [33.]

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Σὺ μὲν φίλη χελιδὸν
ἐτησίη μολοῦσα
θέρει πλέκεις καλιήν·
χειμῶνι δ' εἶς ἄφαντος
ἢ Νεῖλον ἢ 'πὶ Μέμφιν.
Ἔρως δ' ἀεὶ πλέκει μευ
ἐν καρδίῃ καλιήν.
Πόθος δ' ὁ μὲν πτεροῦται,
ὁ δ' ᾠόν ἐστιν ἀκμήν,
ὁ δ' ἡμίλεπτος ἤδη.
βοὴ δὲ γίγνετ' αἰεὶ
κεχηνότων νεοσσῶν.
Ἐρωτιδεῖς δὲ μικροὺς
οἱ μείζονες τρέφουσιν.
οἱ δὲ τραφέντες εὐθὺς
πάλιν κύουσιν ἄλλους.
τί μῆχος οὖν γένηται;
οὐ γὰρ σθένω τοσούτους
Ἔρωτας ἐκσοβῆσαι.

26. A. [16.]

ΕΡΩΤΙΚΟΝ ᾨΔΑΡΙΟΝ.

Σὺ μὲν λέγεις τὰ Θήβης,
ὁ δ' αὖ Φρυγῶν ἀϋτάς·
ἐγὼ δ' ἐμὰς ἁλώσεις.
οὐχ ἵππος ὤλεσέν με,
οὐ πεζός, οὐχὶ νῆες·
στρατὸς δὲ καινὸς ἄλλος
ἀπ' ὀμμάτων με βάλλων.

26 B. [55.]

Ἐν ἰσχίοις μὲν ἵπποι
πυρὸς χάραγμ᾽ ἔχουσιν·
καὶ Παρθίους τις ἄνδρας
ἐγνώρισεν τιάραις.
ἐγὼ δὲ τοὺς ἐρῶντας
ἰδὼν ἐπίσταμ᾽ εὐθύς·
ἔχουσι γάρ τι λεπτόν
ψυχῆς ἔσω χάραγμα.

27. A. [41.]

ΕΙΣ ΤΑ ΤΟΥ ΕΡΩΤΟΣ ΒΕΛΗ.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης
παρὰ Λημνίαις καμίνοις
τὰ βέλη τὰ τῶν Ἐρώτων
ἐπόει λαβὼν σίδηρον.
ἀκίδας δ᾽ ἔβαπτε Κύπρις
μέλι τὸ γλυκὺ λαβοῦσα·
ὁ δ᾽ Ἔρως χολὴν ἔμισγεν.
ὁ δ᾽ Ἄρης ποτ᾽ ἐξ ἀϋτῆς
στιβαρὸν δόρυ κραδαίνων
βέλος ηὐτέλιζ᾽ Ἔρωτος·
ὁ δ᾽ Ἔρως, τόδ᾽ ἐστίν, εἶπεν,
βαρύ· πειράσας νοήσεις.
ἔλαβεν βέλεμνον Ἄρης·
ὑπεμειδίασε Κύπρις.
ὁ δ᾽ Ἄρης ἀναστενάξας,
βαρύ, φησίν· ἆρον αὐτό.
ὁ δ᾽ Ἔρως, ἔχ᾽ αὐτό, φησίν.

27 B. [46.]

Χαλεπὸν τὸ μὴ φιλῆσαι·
χαλεπὸν δὲ καὶ φιλῆσαι·
χαλεπώτερον δὲ πάντων
ἀποτυγχάνειν φιλοῦντα.

27 C. [46.]

Γένος οὐδὲν εἰς Ἔρωτα·
σοφίη, τρόπος πατεῖται·
μόνον ἄργυρον βλέπουσιν.
ἀπόλοιτο πρῶτος αὐτός
ὁ τὸν ἄργυρον φιλήσας.
διὰ τοῦτον οὐκ ἀδελφός,
διὰ τοῦτον οὐ τοκῆες·
πόλεμοι, φόνοι δι᾽ αὐτόν.
τὸ δὲ χεῖρον, ὀλλύμεσθα
διὰ τοῦτον οἱ φιλοῦντες.

28. [44.]

ΟΝΑΡ.

Ἐδόκουν ὄναρ τροχάζειν
πτέρυγας φέρων ἐπ᾽ ὤμων·
ὁ δ᾽ Ἔρως ἔχων μόλιβδον
περὶ τοῖς καλοῖς ποδίσκοις
ἐδίωκε καὶ κίχανεν.
τί δ᾽ ὄναρ θέλει τόδ᾽ εἶναι;
δοκέω δ᾽ ἔγωγε πολλοῖς
ἐν Ἔρωσί με πλακέντα
διολισθάνειν μὲν ἄλλους,
ἑνὶ τῷδε συνδεθῆναι.

29. [7.]

ΕΡΩΤΙΚΟΝ.

Ὑακινθίνῃ με ῥάβδῳ
χαλεπῶς Ἔρως ῥαπίζων
ἐκέλευε συντροχάζειν.
διὰ δ' ὀξέων μ' ἀναύρων
ξυλόχων τε καὶ φαράγγων
τροχάοντα τεῖρεν ἱδρώς·
κραδίη δὲ ῥινὸς ἄχρις
ἀνέβαινε, κἂν ἀπέσβην.
ὁ δ' Ἔρως μέτωπα σείων
ἁπαλοῖς πτεροῖσιν εἶπεν,
σὺ γὰρ οὐ δύνῃ φιλῆσαι.

30. [4.]

ΕΡΩΤΙΚΟΝ.

Ἐπὶ μυρσίναις τερείναις,
ἐπὶ λωτίναις τε ποίαις
στορέσας θέλω προπίνειν·
ὁ δ' Ἔρως χιτῶνα δήσας
ὑπὲρ αὐχένος παπύρῳ
μέθυ μοι διακονείτω.
τροχὸς ἅρματος γὰρ οἷα
βίοτος τρέχει κυλισθείς·
ὀλίγη δὲ κεισόμεσθα
κόνις ὀστέων λυθέντων.
τί σε δεῖ λίθον μυρίζειν;
τί δὲ γῇ χέειν μάταια;
ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
μύρισον, ῥόδοις δὲ κρᾶτα
πύκασον, κάλει δ' ἑταίρην
πρὶν ἔρως ἐκεῖ μ' ἀπελθεῖν
ὑπὸ νερτέρων χορείας,
σκεδάσαι θέλω μερίμνας.

31. [3.]

ΕΙΣ ΕΡΩΤΑ.

Μεσονυκτίοις ποτ' ὥραις,
στρέφεται ὅτ' Ἄρκτος ἤδη
κατὰ χεῖρα τὴν Βοώτου,
μερόπων δὲ φῦλα πάντα
κέαται κόπῳ δαμέντα,
τότ' Ἔρως ἐπισταθείς μευ
θυρέων ἔκοπτ' ὀχῆας.
τίς, ἔφην, θύρας ἀράσσει;
κατά μευ σχίζεις ὀνείρους.
ὁ δ' Ἔρως, ἄνοιγε, φησίν·
βρέφος εἰμί, μὴ φόβησαι·
βρέχομαι δὲ κἀσέληνον
κατὰ νύκτα πεπλάνημαι.
ἐλέησα ταῦτ' ἀκούσας,
ἀνὰ δ' εὐθὺ λύχνον ἅψας
ἀνέῳξα, καὶ βρέφος μὲν
ἐσορῶ φέροντα τόξον
πτέρυγάς τε καὶ φαρέτρην.
παρὰ δ' ἱστίην καθῖσα
παλάμαις τε χεῖρας αὐτοῦ

ἀνέθαλπον, ἐκ δὲ χαίτης
ἀπέθλιβον ὑγρὸν ὕδωρ.
ὁ δ', ἐπεὶ κρύος μεθῆκεν,
φέρε, φησί, πειράσωμεν
τόδε τόξον, εἴ τί μοι νῦν
βλάβεται βραχεῖσα νευρή.
τανύει δὲ καί με τύπτει
μέσον ἧπαρ, ὥςπερ οἶστρος
ἀνὰ δ' ἅλλεται καχάζων,
ξένε δ', εἶπε, συγχάρηθι·
κέρας ἀβλαβές μέν ἐστιν,
σὺ δὲ καρδίην πονήσεις.

32. [43.]

ΕΙΣ ΤΕΤΤΙΓΑ.

Μακαρίζομέν σε, τέττιξ,
ὅτε δενδρέων ἐπ' ἄκρων
ὀλίγην δρόσον πεπωκώς
βασιλεὺς ὅπως ἀείδεις·
σὰ γάρ ἐστι κεῖνα πάντα,
ὁπόσα βλέπεις ἐν ἀγροῖς,
χὠπόσα φέρουσιν ὧραι.
σὺ δὲ φιλία γεωργῶν,
ἀπὸ μηδενός τι βλάπτων·
σὺ δὲ τίμιος βροτοῖσιν,
θέρεος γλυκὺς προφήτης·
φιλέουσι μέν σε Μοῦσαι,
φιλέει δὲ Φοῖβος αὐτός,
λιγυρὴν δ' ἔδωκεν οἴμην·
τὸ δὲ γῆρας οὔ σε τείρει
σοφέ, γηγενής, φίλυμνε,
ἀπαθής, ἀναιμόσαρκε·
σχεδὸν εἶ θεοῖς ὅμοιος.

33. [40.]

ΕΙΣ ΕΡΩΤΑ.

Ἔρως ποτ' ἐν ῥόδοισιν
κοιμωμένην μέλιτταν
οὐκ εἶδεν, ἀλλ' ἐτρώθη
τὸν δάκτυλον· παταχθείς
τὰς χεῖρας ὠλόλυξεν·
δραμὼν δὲ καὶ πετασθείς
πρὸς τὴν καλὴν Κυθήρην,
ὄλωλα, μᾶτερ, εἶπεν,
ὄλωλα κἀποθνήσκω·
ὄφις μ' ἔτυψε μικρός
πτερωτός, ὃν καλοῦσιν
μέλιτταν οἱ γεωργοί.
ἁ δ' εἶπεν· εἰ τὸ κέντρον
πονεῖ τὸ τᾶς μελίττας,
πόσον δοκεῖς πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;

34. [23.]

ΕΙΣ ΦΙΛΑΡΓΥΡΟΝ.

Ὁ πλοῦτος εἴ γε χρυσοῦ
τὸ ζῆν παρεῖχε θνητοῖς,
ἐκαρτέρουν φυλάττων,
ἵν', ἂν θανεῖν ἐπέλθῃ,

λάβῃ τι καὶ παρέλθῃ.
εἰ δ' οὖν τὸ μὴ πρίασθαι
τὸ ζῆν ἔνεστι θνητοῖς,
τί χρυσὸς ὠφελεῖ με;
θανεῖν γὰρ εἰ πέπρωται,
τί καὶ μάτην στενάζω;
τί καὶ γόους προπέμπω;
ἐμοὶ γένοιτο πίνειν,
πιόντι δ' οἶνον ἡδὺν
ἐμοῖς φίλοις συνεῖναι,
ἐν δ' ἁπαλαῖσι κοίταις
τελεῖν τὰν Ἀφροδίταν.

35. [8.]

ΟΝΑΡ.

Διὰ νυκτῶν ἐγκαθεύδων
ἁλιπορφύροις τάπησιν,
γεγανυμένος Λυαίῳ,
ἐδόκουν ἄκροισι ταρσοῖς
δρόμον ὠκὺν ἐκτανύειν
μετὰ παρθένων ἀθύρων.
ἐπεκερτόμουν δὲ παῖδες
ἁπαλώτεροι Λυαίου,
δακέθυμά μοι λέγοντες
διὰ τὰς καλὰς ἐκείνας.
ἐθέλοντα δὲ φιλῆσαι
φύγον ἐξ ὕπνου με πάντες.
μεμονωμένος δ' ὁ τλήμων
πάλιν ἤθελον καθεύδειν.

36. [41.]

ΕΙΣ ΣΥΜΠΟΣΙΟΝ.

Ἱλαροὶ πίωμεν οἶνον,
ἀναμέλψομεν δὲ Βάκχον,
τὸν ἐφευρετὰν χορείας,
τὸν ὅλας ποθοῦντα μολπάς,
τὸν ὁμότροπον Ἔρωτι,
τὸν ἐρώμενον Κυθήρης·
δι' ὃν ἡ μέθη λοχεύθη,
δι' ὃν ἡ χάρις ἐτέχθη,
δι' ὃν ἀμπαύεται λύπα,
δι' ὃν εὐνάζετ' ἀνία.
τὸ μὲν οὖν πόμα κερασθὲν
ἁπαλοὶ φέρουσι παῖδες·
τὸ δ' ἄχος πέφευγε μιχθὲν
ἀνεμοτρόφῳ θυέλλῃ.
τὸ μὲν οὖν πόμα λάβωμε
τὰς δὲ φροντίδας μεθῶμε
τί γάρ ἐστί σοι τὸ κέρδο
ὀδυνωμένῳ μερίμναις;
πόθεν οἴδαμεν τὸ μέλλ
ὁ βίος βροτοῖς ἄδηλος·
μεθύων θέλω χορεύειν,
μεμυρισμένος δὲ παίζειν
μετὰ καὶ καλῶν γυναικ
μελέτω δὲ τοῖς θέλουσι
ὅσον ἐστὶν ἐν μερίμναις
ἱλαροὶ πίωμεν οἶνον,
ἀναμέλψομεν δὲ Βάκχο

37. [47.]

ΕΙΣ ΠΡΕΣΒΥΤΗΝ.

Φιλῶ γέροντα τερπνόν,
φιλῶ νέον χορευτάν·
ἂν δ' ὁ γέρων χορεύῃ,
τρίχας γέρων μέν ἐστιν,
τὰς δὲ φρένας νεάζει.

38. [24.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Ἐπειδὴ βροτὸς ἐτέχθην
βιότου τρίβον ὁδεύειν,
χρόνον ἔγνων, ὃν παρῆλθον·
ὃν δ' ἔχω δραμεῖν, οὐκ οἶδα.
μέθετέ με φροντίδες·
μηδέν μοι καὶ ὑμῖν ἔστω.
πρὶν ἐμὲ φθάσῃ τὸ τέλος,
παίξω, γελάσω, χορεύσω
μετὰ τοῦ καλοῦ Λυαίου.

39.

ΕΙΣ ΤΟ ΕΑΡ.

Τὶ καλόν ἐστι βαδίζειν,
ὅπου λειμῶνες κομῶσιν,
ὅπου λεπτὴν ἡδυτάτην
ἀναπνεῖ Ζέφυρος αὔρην,
κλῆμα τὸ Βάκχειον ἰδεῖν,
χὐπὸ τὰ πέταλα δῦναι,
ἁπαλὴν παῖδα κατέχων,
Κύπριν ὅλην πνέουσαν.

40. [42.]

ΕΡΩΤΙΚΟΝ ῼιΔΑΡΙΟΝ.

Ποθέω μὲν Διονύσου
φιλοπαίγμονος χορείας·
φιλέω δ', ὅταν ἐφήβου
μετὰ συμπότου λυρίζω·
στεφανίσκους δ' ὑακίνθων
κροτάφοισιν ἀμφιπλέξας
μετὰ παρθένων ἀθύρειν
φιλέω μάλιστα πάντων.
φθόνον οὐκ οἶδ' ἐμὸν ἦτορ,
φθόνον οὐκ οἶδα δαϊκτόν.
φιλολοιδόροιο γλώττης
φεύγω βέλεμνα κωφά·
στυγέω μάχας παροίνους.
πολυκώμους κατὰ δαῖτας
νεοθηλέσ' ἅμα κούραις
ὑπὸ βαρβίτῳ χορεύων
βίον ἥσυχον φέρωμεν.

41. [6.]

ΕΡΩΤΙΚΟΝ ᾨΔΑΡΙΟΝ.

Στεφάνους μὲν κροτάφοισιν
ῥοδίνους συναρμόσαντες
μεθύωμεν ἁβρὰ γελῶντες.
ὑπὸ βαρβίτῳ δὲ κούρα
κατακίσσοισι βρέμοντας
πλοκάμοις φέρουσα θύρσους
χλιδανόσφυρος χορεύει.
ἁβροχαίτας δ᾽ ἅμα κοῦρος
στομάτων ἁδὺ πνεόντων
κατὰ πηκτίδων ἀθύρων
προχέει λίγειαν ὀμφάν.
ὁ δ᾽ Ἔρως ὁ χρυσοχαίτας
μετὰ τοῦ καλοῦ Λυαίου
καὶ τῆς καλῆς Κυθήρης
τὸν ἐπήρατον γεραιοῖς
κῶμον μέτεισι χαίρων.

42. [5.]

ΕΙΣ ΡΟΔΟΝ.

Τὸ ῥόδον τὸ τῶν Ἐρώτων
μίξωμεν Διονύσῳ·
τὸ ῥόδον τὸ καλλίφυλλον
κροτάφοισιν ἁρμόσαντες
πίνωμεν ἁβρὰ γελῶντες.
ῥόδον, ὦ φέριστον ἄνθος,
ῥόδον εἴαρος μέλημα·
ῥόδα καὶ θεοῖσι τερπνά·
ῥόδον, ᾧ παῖς ὁ Κυθήρης
στέφεται καλοὺς ἰούλους
Χαρίτεσσι συγχορεύων.
στέψον οὖν με, καὶ λυρίζων
παρὰ σοῖς, Διόνυσε, σηκοῖς,
μετὰ κούρης βαθυκόλπου
ῥοδίνοισι στεφανίσκοις
πεπυκασμένος χορεύσω.

43. [25.]

ΕΙΣ ΟΙΝΟΝ ᾨΔΑΡΙΟΝ.

Ὅταν πίνω τὸν οἶνον,
εὕδουσιν αἱ μέριμναι.
τί μοι γόων, τί μοι πόνων,
τί μοι μέλει μεριμνῶν;
θανεῖν με δεῖ, κἂν μὴ θέλω·
τί δὲ τὸν βίον πλανῶμαι;
πίωμεν οὖν τὸν οἶνον,
τὸν τοῦ καλοῦ Λυαίου·
σὺν τῷ δὲ πίνειν ἡμᾶς
εὕδουσιν αἱ μέριμναι.

44. [37.]

ΕΙΣ ΤΟ ΕΑΡ.

Ἴδε πῶς ἔαρος φανέντος
Χάριτες βρύουσι ῥόδα·
ἴδε πῶς κῦμα θαλάσσης
ἁπαλύνεται γαλήνῃ·

ἴδε πῶς νῆσσα κολυμβᾷ·
ἴδε πῶς γέρανος ὁδεύει.
ἀφελῶς δ' ἔλαμψε Τιταν·
νεφελῶν σκιαὶ δονοῦνται·
τὰ βροτῶν δ' ἔλαμψεν ἔργα·
[καρποῖσι γαῖα προκύπτει.]
καρπὸς γαίας προκύπτει.
Βρομίου στέφεται νᾶμα
κατὰ φύλλον κατὰ κλῶνα
καθελὼν ἤνθησε καρπός.

45. [38.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Ἐγὼ γέρων μέν εἰμι,
νέων πλέον δὲ πίνω·
κἂν δέησῃ με χορεύειν,
Σειληνὸν ἐν μέσοισιν
μιμούμενος χορεύσω;
σκῆπτρον ἔχων τὸν ἀσκόν·
ὁ νάρθηξ δ' οὐδέν ἐστιν.
ὁ μὲν θέλων μάχεσθαι,
παρέστω καὶ μαχέσθω.
ἐμοὶ κύπελλον, ὦ παῖ,
μελίχρουν οἶνον ἡδὺν
ἐγκεράσας φόρησον.
ἐγὼ γέρων μέν εἰμι
* * * * *

46. [26.]

ΕΙΣ ΦΙΛΟΠΟΤΗΝ.

Ὅταν ὁ Βάκχος εἰςέλθῃ,
εὕδουσιν αἱ μέριμναι·
δοκῶν δ' ἔχειν τὰ Κροίσου·
θέλω καλῶς ἀείδειν·
κισσοστεφὴς τε κεῖμαι,
πατῶ δ' ἅπαντα θυμῷ.
ὅπλιζ', ἐγὼ δὲ πίνω.
* * * *
φέρε μοι κύπελλον, ὦ παῖ·
μεθύοντα γάρ με κεῖσθαι
πολὺ κρεῖσσον ἢ θανόντα.

47. [32.]

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Τοῦ Διὸς ὁ παῖς ὁ Βάκχος,
ὁ λυσίφρων ὁ Λυαῖος,
ὅταν εἰς φρένας τὰς ἐμάς
εἰςέλθῃ μεθυδότας,
διδάσκει με χορεύειν.
ἔχω δέ τι καὶ τερπνόν
ὁ τᾶς μέθας ἐραστάς·
μετὰ κρότων, μετ' ᾠδᾶς
τέρπει με κἀφροδίτα,
καὶ πάλιν θέλω χορεύειν.

41. [6.]

ΕΡΩΤΙΚΟΝ ΩιΔΑΡΙΟΝ.

Στεφάνους μὲν κροτάφοισιν
ῥοδίνους συναρμόσαντες
μεθύωμεν ἁβρὰ γελῶντες.
ὑπὸ βαρβίτῳ δὲ κούρα
κατακίσσοισι βρέμοντας
πλοκάμοις φέρουσα θύρσους
χλιδανόσφυρος χορεύει.
ἁβροχαίτας δ' ἅμα κοῦρος
στομάτων ἁδὺ πνεόντων
κατὰ πηκτίδων ἀθύρων
προχέει λίγειαν ὀμφάν.
ὁ δ' Ἔρως ὁ χρυσοχαίτας
μετὰ τοῦ καλοῦ Λυαίου
καὶ τῆς καλῆς Κυθήρης
τὸν ἐπήρατον γεραιοῖς
κῶμον μέτεισι χαίρων.

42. [5.]

ΕΙΣ ΡΟΔΟΝ.

Τὸ ῥόδον τὸ τῶν Ἐρώτων
μίξωμεν Διονύσῳ·
τὸ ῥόδον τὸ καλλίφυλλον
κροτάφοισιν ἁρμόσαντες
πίνωμεν ἁβρὰ γελῶντες.
ῥόδον, ὦ φέριστον ἄνθος,
ῥόδον εἴαρος μέλημα·
ῥόδα καὶ θεοῖσι τερπνά·
ῥόδον, ᾧ παῖς ὁ Κυθήρης
στέφεται καλοὺς ἰούλους
Χαρίτεσσι συγχορεύων.
στέψον οὖν με, καὶ λυρίζων
παρὰ σοῖς, Διόνυσε, σηκοῖς
μετὰ κούρης βαθυκόλπου
ῥοδίνοισι στεφανίσκοις
πεπυκασμένος χορεύσω.

43. [25.]

ΕΙΣ ΟΙΝΟΝ ΩιΔΑΡΙΟΝ.

Ὅταν πίνω τὸν οἶνον,
εὕδουσιν αἱ μέριμναι.
τί μοι γόων, τί μοι πόνων,
τί μοι μέλει μεριμνῶν;
θανεῖν με δεῖ, κἂν μὴ θέλω·
τί δὲ τὸν βίον πλανῶμαι—
πίωμεν οὖν τὸν οἶνον,
τὸν τοῦ καλοῦ Λυαίου·
σὺν τῷ δὲ πίνειν ἡμᾶς
εὕδουσιν αἱ μέριμναι.

44. [37.]

ΕΙΣ ΤΟ ΕΑΡ.

Ἴδε πῶς ἔαρος φανέντος
Χάριτες βρύουσι ῥόδα·
ἴδε πῶς κῦμα θαλάσσης
ἁπαλύνεται γαλήνῃ·

51. [54.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Ὅτ᾽ ἐγὼ νέοις σ᾽ ὁμιλεῖν
ἐσορῶ, πάρεστιν ἥβα.
τότε δέ, τότ᾽ ἐς χορείην
ὁ γέρων ἐγὼ πτεροῦμαι.
περίμεινόν με Κυβήβα·
παράδος· θέλω στέφεσθαι·
πολιὸν δὲ γῆρας ἑκάς·
νέος ἐν νέοις χορεύσω.
Διονυσίης δέ μοί τις
φερέτω ῥοῦν ἀπ᾽ ὀπώρης,
ἵν᾽ ἴδῃ γέροντος ἀλκήν
δεδαηκότος μὲν εἰπεῖν,
δεδαηκότος δὲ πίνειν,
χαριέντως δὲ μανῆναι.

52. [35.]

ΕΙΣ ΕΥΡΩΠΗΝ.

Ὁ ταῦρος οὗτος, ὦ παῖ,
δοκεῖ τις εἶναί μοι Ζεύς·
φέρει γὰρ ἀμφὶ νώτοις
Σιδονίην γυναῖκα.
περᾷ δὲ πόντον εὐρύν,
τέμνει δὲ κῦμα χηλαῖς·
οὐκ ἂν δὲ ταῦρος ἄλλος
ἐξ ἀγέλης ἐλασθείς
ἔπλευσε τὴν θάλασσαν,
εἰ μὴ μόνος ἐκεῖνος.

53. [53.]

ΕΙΣ ΡΟΔΟΝ.

Στεφανηφόρου μετ᾽ ἦρος
μέλπομαι ῥόδον τέρεινον
συνέταιρον αὐξίμολπον·
τόδε γὰρ θεῶν ἄημα,
τόδε καὶ βροτῶν τὸ χάρμα,
Χάρισίν τ᾽ ἄγαλμ᾽ ἐν ὥραις
πολυανθέων Ἐρώτων,
ἀφροδίσιόν τ᾽ ἄθυρμα.
τόδε καὶ μέλημα μύθοις,
χαρίεν φυτόν τε Μουσῶν·
γλυκὺ καὶ ποιοῦντι πεῖραν
ἐν ἀκανθίναις ἀταρποῖς·
γλυκὺ δ᾽ αὖ λαβόντι θάλπειν
μαλακαῖσι χερσὶ κούφαις
προςάγειν τ᾽ Ἔρωτος ἄνθος.
τῷ σοφῷ τί δ᾽ αὖ, τί τερπνόν
θαλίαις τε καὶ τραπέζαις
Διονυσίαις θ᾽ ἑορταῖς
δίχα τοῦ ῥόδου γένοιτ᾽ ἄν;

54. [53.]

(ΑΛΛΟ ΕΙΣ ΡΟΔΟΝ.)

Ῥοδοδάκτυλος μὲν Ἠώς,
ῥοδοπήχεες δὲ Νύμφαι,
ῥοδόχρους δὲ κἀφροδίτα
παρὰ τῶν σοφῶν καλεῖται.

τόδε καὶ νοσοῦσιν ἀρκεῖ,
τόδε καὶ νεκροῖς ἀμύνει,
τόδε καὶ χρόνον βιᾶται·
χαρίεν ῥόδων δὲ γῆρας
νεότητος ἔσχεν ὀδμήν.
φέρε δὴ φύσιν λέγωμεν·
χαροπῆς ὅτ' ἐκ θαλάσσης
δεδροσωμένην Κυθήρην
ἐλόχευε Πόντος ἀφρῷ,
πολεμόκλονόν τ' Ἀθήνην
κορυφῆς ἐδείκνυε Ζεύς,
φοβερὰν θέαν Ὀλύμπῳ,
τότε καὶ ῥόδων ἀγητόν
νέον ἔρνος ἤνθισε Χθώ
πολυδαίδαλον λόχευμα·
μακάρων θεῶν δ' ὅμιλ
ῥόδον ὡς γένοιτο, νέκτα
ἐπιτέγξας ἀνέθηλεν
ἀγέρωχον ἐξ ἀκάνθης
φυτὸν ἄμβροτον Λυαίῳ.

55. [50.]
ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Ὁ τὸν ἐν πόνοις ἀτειρῆ
νέον, ἐν πόθοις ἀταρβῆ,
καλὸν ἐν πότοις χορευτὴν
τελέων θεὸς κατῆλθεν,
ἁπαλὸν βροτοῖσι φίλτρον
πότον ἄστονον κομίζων,
γόνον ἀμπέλου, τὸν οἶνον,
πεπεδημένον ὀπώραις
ἐπὶ κλημάτων φυλάττων
ἵν', ὅταν τέμνωσι βότρυ
ἄνοσοι μένωσι πάντες,
ἄνοσοι δέμας θεητόν,
ἄνοσοι γλυκύν τε θυμόν
ἐς ἔτους φανέντος ἄλλου.

56. [51.]
ΕΙΣ ΔΙΣΚΟΝ ΕΧΟΝΤΑ ΑΦΡΟΔΙΤΗΝ.

Ἆρα τις τόρευσε πόντον;
ἆρα τις μανεῖσα τέχνα
ἀνέχευε κῦμα δίσκῳ
ἐπὶ νῶτα τῆς θαλάττης;
ἆρα τις ὕπερθε λευκάν
ἁπαλὰν χάραξε Κύπριν
νόος ἐς θεοὺς ἀερθείς,
μακάρων φύσιος ἀρχάν;
ὁ δέ νιν ἔδειξε γυμνάν,
ὅσα μὴ θέμις δ' ὁρᾶσθαι,
μόνα κύμασιν καλύπτει.
ἀλαλημένη δ' ἐπ' αὐτάν,
βρύον ὡς ὕπερθε λευκόν,
ἁπαλόχροος Γαλήνη
δέμας εἰς πλόον φέρουσα,
ῥόθιον πάροιθεν ἕλκει.
ῥοδέων δ' ὕπερθε μαζῶ
ἁπαλῆς ἔνερθε δειρῆς
μέγα κῦμα πρῶτα τέμνει
μέσον αὔλακος δὲ Κύπρ
κρίνον ὡς ἴοις ἑλιχθέν,
διαφαίνεται Γαλήνας.
ὑπὲρ ἀργύρῳ δ' ὀχοῦνται
ἐπὶ δελφῖσιν χορευταῖς
δολερὸν νόον μερόπων
Ἔρος, Ἵμερος γελῶντες.
χορὸς ἰχθύων τε κύρτος
ἐπὶ κυμάτων κυβιστῶν
Παφίης τὸ σῶμα παίζει
ἵνα νήχεται γελῶσα.

57.

ΕΙΣ ΧΡΥΣΟΝ.

Ὁ δραπέτας ὁ χρυσός,
ὅταν με φεύγει κραιπνοῖς
διηνέμοις τε ταρσοῖς,
ἀεὶ δ', ἀεί με φεύγει,
οὔ μιν διώκω· τίς γάρ
μισῶν θέλει τι θηρᾶν;
ἐγὼ δ' ἄφαρ λιασθείς
τῷ δραπέτα τῷ χρυσῷ
ἐμῶν φρενῶν μὲν αὔραις
φέρειν ἔδωκα λύπας,
λύρην δ' ἑλὼν ἀείδω
ἐρωτικὰς ἀοιδάς.
πάλιν δ' ὅταν με θυμός
ὑπερφρονεῖν διδάξῃ,
ἄφνω προσεῖφ' ὁ δραπέτας,
φέρων μέθαν μοι φροντίδων
ἑλών μιν ὡς μεθήμων
λύρης γένωμαι λαρός.
ἄπιστ' ἄπιστε χρυσέ,
μάτην δόλοις με θέλγεις
πλέον τι χρυσοῦ νεῦρα.
πόθους κέκλυθι ἀδεῖς.

58. [52.]

ΕΙΣ ΟΙΝΟΝ.

Τὸν μελανόχρωτα βότρυν
ταλάροις φέροντες ἄνδρες
μετὰ παρθένων ἐπ' ὤμων,
κατὰ ληνὸν δὲ βαλόντες,
μόνον ἄρσενες πατοῦσιν
σταφυλήν, λύοντες οἶνον,
μέγα τὸν θεὸν κροτοῦντες
ἐπιληνίοισιν ὕμνοις,
ἐρατὸν πίθοις ὁρῶντες
νέον ἐς ζέοντα Βάκχον·
ὃν ὅταν πίνῃ γεραιός,
τρομεροῖς ποσὶν χορεύει,
πολιὰς τρίχας τινάσσων.
ὁ δὲ παρθένον λοχήσας
ἐρατὸς νέος ἐλυσθείς
ἁπαλὸν δέμας χυθεῖσαν
σκιερῶν ὕπερθε φύλλων,
βεβαρημένην ἐς ὕπνον,
ἐς ἔρωτ' ἄωρα θέλγει,
προδότιν γάμων γενέσθαι·
ὁ δὲ μὴ λόγοισι πείθων
τότε μὴ θέλουσαν ἄγχει·
μετὰ γὰρ νέων ὁ Βάκχος
μεθύων ἄτακτα παίζει.

59.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Ἀνὰ βάρβιτον δονήσω·
ἄεθλος μὲν οὐ πρόκειται,
μελέτη δ' ἔπεστι παντί
σοφίης λαχόντ' ἄωτον.

ἐλεφαντίνῳ δὲ πλήκτρῳ
λιγυρὸν μέλος κροαίνων
Φρυγίῳ ῥυθμῷ βοήσω,
ἅτε τις κύκνος Καΰστρου
ποικίλον πτεροῖσι μέλπων
ἀνέμῳ σύναυλος ἠχθῇ.
σὺ δὲ Μοῦσα συγχόρευε·
ἱερὸν γάρ ἐστι Φοίβου
κιθάρη δάφνη τρίπους τε.
λαλέω δ᾽ ἔρωτα Φοίβου,
ἀνεμώλιον τὸν οἰ
σαόφρων γὰρ ἔστι
τὸ μὲν ἐκπέφευγ
φύσεως δ᾽ ἄμειψ
φυτὸν εὐθαλὲς δ᾽
ὁ δὲ Φοῖβος, ἠὲ
κρατέειν κόρην νι
χλοερὸν δρέπων ὁ
ἐδόκει τελεῖν Κυ

60.

Ἄγε θυμέ, πῇ μέμηνας
μανίην μανεὶς ἀρίστην;
τὸ βέλος φέρε κρατύνων,
σκοπὸν ὡς βαλὼν ἀπέλθῃς.
τὸ δὲ τόξον Ἀφροδίτης
ἄφες, ᾧ θεοὺς ἐνίκα.
τὸν Ἀνακρέοντα μιμοῦ,
τὸν ἀοίδιμον μελ
φιάλην πρόπινε
φιάλην λόγων ἐρ
ἀπὸ νέκταρος πο
παραμύθιον λαβ
φλογερὸν φύγωμ

61.

Σὺ γὰρ δόλῳ, σύ τοι φθόνῳ
ἔρωτ᾽ ἔθηκας ἀνδράσιν
λύρην δ᾽ ἄλυπα παστάδων
φιλαμάτων τε κεδνῶν
πόθων κύπελλα κρίνει.
ὅταν θέλῃς δὲ φεύγεις·
λύρης δ᾽ ἐμῆς ἀοιδὰν
οὐκ ἂν λίποιμι τ
ξείνοις σὺ δ᾽ ἀγ
δόλοις ἀπίστοις
ἐμοὶ δ᾽ τῷ λυρο
μούσαις φρεσὶν ἀ
ἀχανδέας ὀρίνεις
αἴγλην τε λαμπρ

62.

Ἔρωτα γὰρ τὸν ἁβρὸν
μέλπομαι βρύοντα μίτραις
πολυανθέμοις ἀείδων.
ὅδε καὶ θεῶν δυ
ὅδε καὶ βροτοὺς

63.

Φέρ᾽ ὕδωρ, φέρ᾽ οἶνον, ὦ παῖ,
μέθυσόν με καὶ κάρωσον·

τὸ ποτήριον λέγει μου,
ποδαπόν με δεῖ γενέσθαι.

64.

Τί με φεύγεις τὸν γέροντα;

65.

Κραδίην μέσην γυναῖκες.

66.

Ἔδραμον δύσοιστον οἶμον.

67.

Δοκέει κλύειν γὰρ ἥδε,
λαλέειν τις εἰ θελήσει.

XX.

L A S U S.

1.

ΥΜΝΟΣ ΕΙΣ ΤΗΝ ΕΡΜΙΟΝΙ ΔΗΜΗΤΡΑ.

– –́ ⏑ – –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
– ⏖́ ⏑ – – ⏖́ ⏑ ⏒
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –

Δάματρα μέλπω κόραν τε Κλυμένοι' ἄλοχον Μελίβοιαν,
ὕμνον ἀνάγων τ' Αἰολίδ' ἅμα
βαρύβρομον ἁρμονίαν.

XXIII.

TELESILLA.

1.

– –́ ⏑ ⏑ – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ –

Ἅδ' Ἄρτεμις, ὦ κόραι,
φεύγοισα τὸν Ἀλφεόν.

XXIV.

SIMONIDES.

ΕΙΣ ΤΗΝ ΕΠΙ ΑΡΤΕΜΙΣΙΩι ΝΑΥΜΑΧΙΑΝ. **1—4.**

4. [9.] *)

⏓ – –́ ⏑ ⏑ – ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –́ –
⏓ ⏑ –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏓ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – –
⏓ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

Τῶν ἐν Θερμοπύλαις θανόντων
εὐκλεὴς μὲν ἁ τύχα, καλὸς δ' ὁ πότμος,
βωμὸς δ' ὁ τάφος, πρὸ γόων δὲ μνᾶστις, ὁ δ' οἶ
ἔπαινος·
ἐντάφιον δὲ τοιοῦτον οὔτ' εὐρὼς
οὔθ' ὁ πανδαμάτωρ ἀμαυρώσει χρόνος.

---

*) Numeri adiecti sunt editionis Schneidewinianae.

τὸ ποτήριον λέγει μοι,
ποδαπόν με δεῖ γενέσθαι.

64.

Τί με φεύγεις τὸν γέροντα;

65.

Κραδίην μέσην γυναῖκες.

66.

Ἔδραμον δύσοιστον οἶμον.

67.

Δοκέει κλύειν γὰρ ἥδε,
λαλέειν τις εἰ θελήσει.

XX.

L A S U S.

1.

ΥΜΝΟΣ ΕΙΣ ΤΗΝ ΕΡΜΙΟΝΙ ΔΗΜΗΤΡΑ.

– ˊ ∪ – ˊ ∪ – ˊ ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ⏓
– ˊ ∪∪ ∪ – – ˊ ∪∪ ∪ ∪
∪ ˊ ∪ ∪ – ∪ ∪ –

Δάματρα μέλπω κόραν τε Κλυμένοι᾿ ἄλοχον Μελίβοιαν,
ὕμνον ἀνάγων τ᾿ Αἰολίδ᾿ ἅμα
βαρύβρομον ἁρμονίαν.

XXIII.

T E L E S I L L A.

1.

– –́ ⏑ ⏑ – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ –

Ἄδ' Ἄρτεμις, ὦ κόραι,
φεύγοισα τὸν Ἀλφεόν.

XXIV.

S I M O N I D E S.

ΕΙΣ ΤΗΝ ΕΠΙ ΑΡΤΕΜΙΣΙΩι ΝΑΥΜΑΧΙΑΝ. 1—4.

4. [9.] *)

x– – –́ ⏑ ⏑ – ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑–
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑–
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –́ –
x– ⏑ –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏑–
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
x– – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – –
x– ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑–

Τῶν ἐν Θερμοπύλαις θανόντων
εὐκλεὴς μὲν ἁ τύχα, καλὸς δ' ὁ πότμος,
βωμὸς δ' ὁ τάφος, πρὸ γόων δὲ μνᾶστις, ὁ δ' ο ἔπαινος·
ἐντάφιον δὲ τοιοῦτον οὔτ' εὐρὼς
οὔθ' ὁ πανδαμάτωρ ἀμαυρώσει χρόνος.

---

*) Numeri adiecti sunt editionis Schneidewinianae.

ἀνδρῶν δ' ἀγαθῶν ὅδε σηκὸς οἰκέταν εὐδοξίαν
Ἑλλάδος εἵλετο· μαρτυρεῖ δὲ καὶ Λεωνίδας
ὁ Σπάρτας βασιλεύς, ἀρετᾶς μέγαν λελοιπώς
κόσμον ἀέναόν τε κλέος.

ΕΠΙΝΙΚΟΙ.

ΣΚΟΠΑι ΤΩι ΚΡΕΟΝΤΟΣ ΘΕΣΣΑΛΩι.

5. [12.]

–́ ∪ ∪ – ∪ ∪ – ∪ – ∪ – –
∪ ∪ –́ – – ∪ –́ ∪ ∪ – ∪ – – ∪ –́ ∪ ∪ – ∪ – – –́ ∪ –
∪ ∪ –́ ∪ – – ∪ –́ ∪ ∪ – ∪ – – ∪ –́ ∪ ∪ – ∪ –
∪ ∪ –́ ∪ – – ∪ –́ ∪ ∪ –
– –́ ∪ – – ∪ –́ ∪ ∪ –
∪ –́ – ∪ –́ –
– ∪ –́ ∪ ∪ – – –́ ∪ – ∪ – –

Ἄνδρ' ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι Στρ. α'.
χαλεπὸν χερσίν τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον·
ὃς ἂν ᾖ κακὸς μηδ' ἄγαν ἀπάλαμνος, εἰδώς γ' ὀνησίπολιν δίκαν
ὑγιὴς ἀνήρ (ἐστιν)· οὔ μιν ἐγὼ
μωμήσομαι· τῶν γὰρ ἠλιθίων
ἀπείρων γενέθλα.
πάντα τοι καλά, τοῖσί τ' αἰσχρὰ μὴ μέμικται.

Οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον Στρ. β'.
νέμεται, καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον· χαλεπὸν φάτ' ἐσθλὸν ἔμμεναι.
θεὸς ἂν μόνος τοῦτ' ἔχοι γέρας· ἄνδρα δ' οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι,
ὃν ἀμάχανος συμφορὰ καθέλῃ.
πράξαις γὰρ εὖ πᾶς ἀνὴρ ἀγαθός,

κακὸς δ', εἰ κακῶς· καί
τοὐπιπλεῖστον ἄριστοι, τοὺς θεοὶ φιλέοισιν.

Τοὔνεκεν οὔποτ' ἐγὼ τὸ μὴ γενέσθαι Στρ. γ'
δυνατὸν διζήμενος, κενεὰν ἐς ἄπρακτον ἐλπίδα μοῖραν αἰῶνος βαλέω,
πανάμωμον ἄνθρωπον, εὐρυέδους ὅσοι καρπὸν αἰνύμεθα χθονός·
ἐπί τ' ὔμμιν εὑρὼν ἀπαγγελέω.
πάντας δ' ἐπαίνημι καὶ φιλέω,
ἑκὼν ὅστις ἔρδῃ
μηδὲν αἰσχρόν, ἀνάγκᾳ δ' οὐδὲ θεοὶ μάχονται.

---

7. [17.]

ΑΝΑΞΙΛΑι ΡΗΓΙΝΩι ΑΠΗΝΗι

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒́ ⏑ – –
Χαίρετ' ἀελλοπόδων θύγατρες ἵππων.

---

8. [20.]

ΓΛΑΥΚΩι ΚΑΡΥΣΤΙΩι ΠΥΚΤΗι.

. . . . –́ ⏑ ⏑⏑ – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
. . . . *Οὐδὲ Πολυδεύκεος βία*
χεῖρας ἀντείναιτ' ἂν ἐναντίον αὐτῷ,
οὐδὲ σιδάρεον Ἀλκμάνας τέκος.

---

10. [28.]

ΑΣΤΥΛΩι ΚΡΟΤΟΝΙΑΤΗι.

. . . –́ ⏑ – – –́ ⏑ ⏓
⏑ ⏑ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –

. . . Τίς δὲ τῶν νῦν τοσσάδε
πετάλοισι μύρτων ἢ στεφάνοισι ῥόδων ἀνεδήσατο νίκας
ἐν ἀγῶνι περικτιόνων;

---

12. [18.]

–́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ –́ ⏑ ⏑ ⏒
× – –́ ⏑ ⏑ – –́ ⏑ –
–́ ⏑ ⏑ – . . . . . .

Ὡς ὁπόταν χειμέριον κατὰ μῆνα πινύσκῃ
Ζεὺς ἄματα τέσσαρα καὶ δέκα, λαθάνεμόν τέ μιν
ὥραν καλέοισιν ἐπιχθόνιοι
ἱρὰν παιδοτρόφον ποικίλας
ἀλκυόνος.

13. [19.]

⏑ –́ ⏑ ⏑ – ⏑ –́ ⏑ – –
– –́ ⏑ – –́ ⏑ – ⏑ –́ ⏑ ⏒
⏑͡⏑́ ⏑

Ἐπέξαθ' ὁ Κριὸς οὐκ ἀεικέως
ἐλθὼν ἐς εὔδενδρον ἀγλαὸν Διὸς
τέμενος.

* 15. [15.]

– –́ ⏑ ⏑ – ⏑ – ⏑ – –
–́ ⏑ – × ⏑ –́ ⏑ ⏑ – ⏑ – –

Ἱπποτροφία γὰρ οὐ Ζακύνθῳ,
ἀλλ' ἀρούραισι πυροφόροις ὀπαδεῖ.

* 16.

. . . ∪ ∪ – ∪ ∪ – ∪ –́ ∪ ∪ – ∪ ∪ – –

. . . *Κονία δὲ παρὰ τροχὸν μεταμώνιος ἄρθη.*

* 17. [16.]

–́ ∪ – – –́ ∪ – – –́ ∪ – ⏓

Μὴ βάλῃ φοίνικας ἐκ χειρῶν ἱμάντας.

ΥΠΟΡΧΗΜΑΤΑ.

29. [43.]

∪ ∪ –́ ∪ – ∪ –́ ∪ –
∪ –́ ∪ – ∪ –́ ∪ –
∪ ∪ –́ ∪ ∪ – ∪ ∪ –́ ∪ ∪ – ∪ –́ ∪ – ∪ –́ –

Ἀπέλαστον ἵππον ἢ κύνα
Ἀμυκλαίαν ἀγωνίῳ
ἐλελιζόμενος ποδὶ μίμεο καμπύλον μέλος διώκων.

30. [44.]

– –́ ∪ ∪ – ∪ ∪ –́ ∪ ∪ – ∪ ∪ –́ ∪ ∪ –
∪ ∪ –́ ∪ ∪ – ∪ ∪ –́ –
–́ ∪ – ∪ – –́ ∪ ∪ –
–́ ∪ – ∪ –́ ∪ – –́ ∪ ∪ – ∪ –
–́ ∪ – ⏓ . . . .

Οἷος (δὲ κύων) ἀνὰ Δώτιον ἀνθεμόεν πεδίον
πέταται θάνατον κεροέσσᾳ
εὑρέμεν ματεύων ἐλάφῳ·
τὰν δ' ἐπ' αὐχένι στρέφοισαν σφέτερον κάρα
πάντ' ἐπ' οἶμον.

31. [45.]

⏑ –́ ⏑ – – . . .
⏑ –́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ –
⏒ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ – ⏓

Ὅταν δὲ γηρῶσαι νῦν,
ἐλαφρὸν ὄρχημ' οἶδα ποδῶν μιγνύμεν·
Κρῆταν μιν καλέοισι τρόπον, τὸ δ' ὄργανον Μολοσσόν.

ΘΡΗΝΟΙ.

32. [46.]

ΕΙΣ ΣΚΟΠΑΔΑΣ.

– –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –́ –
⏒ – –́ ⏑ – ⏑ –́ . . .

Ἄνθρωπος ἐὼν μή ποτε φάσῃς ὅ τι γίνεται αὔριον,
μηδ' ἄνδρα ἰδὼν ὄλβιον, ὅσσον χρόνον ἔσσεται·
ὠκεῖα γάρ, οὐδὲ τανυπτερύγου μυίας
οὕτως ἁ μετάστασις.

---

36. [51.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏖́ ⏑ – ⏓
⏑ –́ –́ ⏑ – –́ ⏑ ⏑ – ⏒ ⏑ –́ ⏑ ⏑ –
⏖́ ⏑ – –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏓

Οὐδὲ γὰρ οἳ πρότερόν ποτ' ἐπέλοντο,
θεῶν δ' ἐξ ἀνάκτων ἐγένονθ' υἷες ἡμίθεοι,
ἄπονον οὐδ' ἄφθιτον οὐδ' ἀκίνδυνον βίον
ἐς γῆρας ἐξίκοντο τελέσσαντες.

Ἄναυρον ὕπερ πολυβότρυος ἐξ Ἰωλκοῦ·
οὕτω γὰρ Ὅμηρος ἠδὲ Στασίχορος ἄεισε λαοῖς.

54. [29.]

. . . – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ –́ ⏑ – –́ ⏑ – – . . . ⏑ ⏑ – –

Φοινίκεον ἱστίον ὑγρῷ
πεφυρμένον πρινὸς ἄνθει . . . ἐριθάλλου.

55. [30.]

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑͡⏑ ⏑ – –

Βιότου κέ σε μᾶλλον ὤνασα πρότερος ἐλθών.

57. [10.]

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑̄
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – x– ⏑ –́ ⏑ ⏑ – –́ –
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑̄
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏑ – –

Τίς κεν αἰνήσειε νόῳ πίσυνος Λίνδου ναέταν Κλεόβο
ἀενάοις ποταμοῖσιν ἄνθεσί τ' εἰαρινοῖς
ἀελίου τε φλογὶ χρυσέας τε σελάνας
καὶ θαλασσαίαισι δίναις ἀντιθέντα μένος στάλας;
ἅπαντα γάρ ἐστι θεῶν ἥσσω· λίθον δὲ
καὶ βρότεοι παλάμαι θραύοντι· μωροῦ φωτὸς ἅδε βο

58. [32.]

–́ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – –
–́ ⏑ – ⏑ – –́ ⏑ – ⏑ –́ ⏑ –
–́ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ – ⏑̄
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – ⏑̄
x– – –́ . . . .

47. [76.]

. . . ∪ – – –́ ∪ ∪ – ∪ ∪ – ∪
– –́ ∪ ∪ – ∪ ∪ – . .

. . . Ὁμιλεῖ δ' ἄνθεσιν, (ὥστε) μέλισσα
ξανθὸν μέλι μηδομένα.

49. [91.]

–́ ∪ ∪ – ∪ ∪ – – – ∪ –́ ∪ ∪ . . .

Καὶ σὺ μέν, εἴκοσι παίδων μᾶτερ, ἵλαθι.

50. [94.]

∪ –́ ∪ – – –́ ∪ ∪ – ∪∪ ∪ –

Κορινθίοις δ' οὐ μανίει, οὐδὲ Δαναοί.

51. [7.]

– –́ ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪

Ἴσχει δέ με πορφυρέας ἁλὸς ἀμφιταρασσομένας ὀρυμαγδός.

52. [26.]

. . . (– ∪ ∪ –) ∪ –́ ∪ ∪ –
∪ –́ ∪∪ ∪ – –
– –́ ∪ – ∪ –́ ∪ ∪∪ – –́ ∪ –

. . . (Εὐρυδίκας) ἰοστεφάνου
γλυκεῖαν ἐδάκρυσαν
ψυχὰν ἀποπνέοντα γαλαθηνὸν τέκος.

53. [25.]

. . . . – –́ ∪ – –
– –́ ∪ ∪ – – –́ ∪ ∪ –
∪ –́ ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ – –
– –́ ∪ ∪ – ∪ – – –́ ∪ ∪∪ – –́ ∪ – –

. . . . Ὃς δουρὶ πάντας
νίκασε νέους δινάεντα βαλὼν

Ἄναυρον ὕπερ πολυβότρυος ἐξ Ἰωλκοῦ·
οὕτω γὰρ Ὅμηρος ἠδὲ Στασίχορος ἄεισε λαοῖς.

54. [29.]

. . . – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ –́ ⏑ – –́ ⏑ – – . . . ⏑ ⏑ – –

Φοινίκεον ἱστίον ὑγρῷ
πεφυρμένον πρινὸς ἄνθει . . . ἐριθάλλου.

55. [30.]

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑͡⏑ ⏑ – –

Βιότου κέ σε μᾶλλον ὤνασα πρότερος ἐλθών.

57. [10.]

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑̄
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –ˣ ⏑ –́ ⏑ ⏑ – –́ –
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑̄
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏑ – –

Τίς κεν αἰνήσειε νόῳ πίσυνος Λίνδου ναέταν Κλεόβι
ἀενάοις ποταμοῖσιν ἄνθεσί τ' εἰαρινοῖς
ἀελίου τε φλογὶ χρυσέας τε σελάνας
καὶ θαλασσαίαισι δίναις ἀντιθέντα μένος στάλας;
ἅπαντα γάρ ἐστι θεῶν ἥσσω· λίθον δὲ
καὶ βρότεοι παλάμαι θραύοντι· μωροῦ φωτὸς ἅδε βι

58. [32.]

–́ ⏑ – ⏑ ⏒
–́ ⏑ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – –
–́ ⏑ – ⏑ – –́ ⏑ – ⏑ –́ ⏑ –
–́ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ – ⏑̄
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – ⏑̄
–ˣ – –́ . . . .

Ἔστι τις λόγος
τὰν ἀρετὰν ναίειν δυσαμβάτοις ἐπὶ πέτραις,
νῦν δέ μιν θοὰν χῶρον ἁγνὸν ἀμφέπειν.
οὐδὲ πάντων βλεφάροις θνατῶν ἔσοπτος,
ᾧ μὴ δακέθυμος ἱδρὼς
ἔνδοθεν μόλῃ, ἵκηταί τ' ἐς ἄκρον
ἀνδρείας.

59. [83.]

Τοῦτο γὰρ μάλιστα φὴρ ἔστυγε πυΐρ.

60. [24.]

–́ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ – –

Ὤνθρωπε, κεῖσαι ζῶν ἔτι μᾶλλον τῶν ὑπὸ γᾶς ἐκείνων.

62.

–́ ⏑ ⏑⏑ ⏑ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ . . . .

Οὐκ ἔστ' ἀνεπιδόκητον ἀνθρώποις, ὀλίγῳ δὲ χρόνῳ
πάντα μεταρρίπτει θεός.

64. [105.]

. . . . ⏑ ⏑ – ⏑ – ⏑̱
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – . . .

. . . Παρὰ χρυσὸν ἑφθὸν
ἀκήρατον οὐδὲ μόλυβδον ἔχων.

65. [106.]

⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑⏑́ ⏑ ⏑̱

Ὁ δ' αὖ θάνατος κίχε καὶ τὸν φυγόμαχον.

66. [107.]

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑̱

Ἔστι καὶ σιγᾶς ἀκίνδυνον γέρας.

68. [110.]

. . . . ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

. . . . Ἐπεὶ
πάσαις κορυδαλλίσι χρὴ λόφον ἐγγενέσθαι.

69. [111.]

⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Τὸ γὰρ γεγενημένον οὐκέτ᾽ ἄρεκτον ἔσται.

70. [116.]

. . . . . –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏒
– –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏒

Οὐδὲ καλᾶς σοφίας ἐστὶν χάρις,
εἰ μή τις ἔχει σεμνὰν ὑγίειαν.

71. [117.]

–́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –

Τίς γὰρ ἁδονᾶς ἄτερ θνατῶν βίος ποθεινὸς ἢ ποι
ραννίς;
τᾶς δ᾽ ἄτερ οὐδὲ θεῶν ζαλωτὸς αἰών.

72. [119.]

. . . – ⏑ ⏑ –
⏑ –́ ⏑ ⏑⏑ ⏑ –́ ⏑ – – –́ ⏑ ⏒

. . . . Πορφυρέου
ἀπὸ στόματος ἱεῖσα φωνὰν παρθένος.

73. [120.]

–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ –

Εὖτ᾽ ἀηδόνες πολυκώτιλοι,
χλωραύχενες, εἰαριναί.

74. [121.]

⏓ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – –
–́ ⏑ ⏑ – ⏑ – –

Ἄγγελε κλυτὰ ἔαρος ἁδυόδμου,
κυανέα χελιδοῖ.

76. [125.]

. . . . ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –

. . . . Τὸ δοκεῖν καὶ τὰν ἀλάθειαν βιᾶται.

80. [147. c.]

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –

Ἕνα δ' οἶον ἔνεικε θεὰ μέγαν εἰς δίφρον.

ΕΛΕΓΕΙΑ.

82.

ΕΙΣ ΤΗΝ ΕΝ ΜΑΡΑΘΩΝΙ ΜΑΧΗΝ.

Εἰ δ' ἄρα τιμῆσαι, θύγατερ Διός, ὅςτις ἄριστος,
δῆμος Ἀθηναίων ἐξετέλεσσα μόνος.

84. [59.]

ΕΙΣ ΤΗΝ ΕΝ ΠΛΑΤΑΙΑΙΣ ΜΑΧΗΝ.

Μέσσοι δ' οἵ τ' Ἐφύρην πολυπίδακα ναιετάοντες,
παντοίης ἀρετῆς ἴδριες ἐν πολέμῳ,
οἵ τε πόλιν Γλαύκοιο, Κορίνθιον ἄστυ, νέμοντες,
*οἳ * κάλλιστον μάρτυν ἔθεντο πόνων*
χρυσοῦ τιμήεντος ἐν αἰθέρι· καί σφιν ἀέξει
αὐτῶν τ' εὐρεῖαν κληδόνα καὶ πατέρων·
ξεινοδόκων δ' ὤριστος ὁ χρυσὸς ἐν αἰθέρι λάμπων.

---

85. [60.]

(Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί·)
ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν·
παῦροι μὴν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ,
ἀνδρῶν ἥ τε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ·
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν οὔτε θανεῖσθαι,
οὐδ' ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.
νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδὲ ἴσασιν,
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς· ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

87. [65.]

Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει.

88. [66.]

Ὅ τοι χρόνος ὀξὺς ὀδόντας
πάντα καταψήχει καὶ τὰ βιαιότατα.

* 89. [67. 68.]

Ἦν ἄρ' ἔπος τόδ' ἀληθές, ὅτ' οὐ μόνον ὕδατος αἶσα
ἀλλά τι καὶ χλεύης οἶνος ἔχειν ἐθέλει.
οὐ γὰρ ἀπόβλητον Διονύσιον οὐδὲ γίγαρτον.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

ΕΠΙΚΗΔΕΙΑ.

90. [148.]

Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί, σῆμα δ' ἐφ' ἡμῖν
ἐγγύθεν Εὐρίπου δημοσίᾳ κέχυται,
οὐκ ἀδίκως· ἐρατὴν γὰρ ἀπωλέσαμεν νεότητα
τρηχεῖαν πολέμου δεξάμενοι νεφέλην.

* 91. [149.]

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

92. [150.]

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

93. [151.]

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

94. [152.]

Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃς τότε Κῆρας ἐπερχομένας σάφα εἰδὼς
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

95. [153.]

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη·
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι
κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

96. [154.]

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος·
οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθεν
κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀΐδεω.

97. [155.]

Εὐκλέας αἶα κέκευθε, Λεωνίδα, οἳ μετὰ σεῖο
τῇδ' ἔθανον, Σπάρτης εὐρυχόρου βασιλεῦ,
πλείστων δὴ τόξων τε καὶ ὠκυπόδων σθένος ἵππων
Μηδείων τ' ἀνδρῶν δεξάμενοι πολέμῳ.

* 98.

Τούςδε ποθεῖ φθιμένους ὑπὲρ Ἑλλάδος ἀντία Μήδων
μητρόπολις Λοκρῶν εὐθυνόμων Ὀπόεις.

99. [156.]

Οὐκ ἐστὶν μείζων βάσανος χρόνου οὐδενὸς ἔργου,
ὃς καὶ ὑπὸ στέρνοις ἀνδρὸς ἔδειξε νόον.

100. [157.]

Ὦ ξεῖν᾽, εὔϋδρόν ποτ᾽ ἐναίομεν ἄστυ Κορίνθου,
νῦν δ᾽ ἄμμ᾽ Αἴαντος νᾶσος ἔχει Σαλαμίς·
ῥεῖα δὲ Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδα ῥυσάμεθα.

101. [158.]

Ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι
δουλοσύνας· Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα
ἥψαμεν, ἀργαλέης μνήματα ναυμαχίας·
ὀστέα δ᾽ ἄμμιν ἔχει Σαλαμίς· πατρὶς δὲ Κόρινθος
ἀντ᾽ εὐεργεσίης μνῆμ᾽ ἐπέθηκε τόδε.

102. [159.]

Παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐξολέσαντες
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.

103. [160.]

Οὗτος Ἀδειμάντου κείνου τάφος, οὗ διὰ βουλάς
Ἑλλὰς ἐλευθερίας ἀμφέθετο στέφανον.

* 104. [161.]

Ἀμφί τε Βυζάντειαν ὅσοι θάνον, ἰχθυόεσσαν
ῥυόμενοι χώραν, ἄνδρες ἀρηϊθόοι.

105. [165.]

Τῶνδε δι᾽ ἀνθρώπων ἀρετὰν οὐχ ἵκετο καπνός
αἰθέρα δαιομένης εὐρυχόρου Τεγέας·

οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν
παισὶ λιπεῖν, αὐτοὶ δ' ἐν προμάχοισι πεσεῖν.

106. [166.]

Εὐθυμάχων ἀνδρῶν μνησώμεθα, τῶν ὅδε τύμβος,
οἳ θάνον εὔμηλον ῥυόμενοι Τεγέαν
αἰχμηταὶ πρὸ πόληος, ἵνα σφίσι μὴ καθέληται
Ἑλλὰς ἀποφθιμένου κρατὸς ἐλευθερίαν.

107.

Ἐξ οὗ τ' Εὐρώπην Ἀσίας δίχα πόντος ἔνειμεν,
καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει,
οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
οἵδε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας, μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν
πληγεῖσ' ἀμφοτέραις χερσί, κράτει πολέμου.

108.

Οἵδε παρ' Εὐρυμέδοντά ποτ' ἀγλαὸν ὤλεσαν ἥβην
μαρνάμενοι Μήδων τοξοφόρων προμάχοις,
αἰχμηταί, πεζοί τε καὶ ὠκυπόρων ἐπὶ νηῶν·
κάλλιστον δ' ἀρετῆς μνῆμ' ἔλιπον φθίμενοι.

109.

Τῶνδε ποτὲ στέρνοισι τανυγλώχινας ὀϊστούς
λοῦσεν φοινίσσᾳ θοῦρος Ἄρης ψακάδι,
ἀντὶ δ' ἀκοντοδόκων ἀνδρῶν μνημεῖα θανόντων
ἄψυχ' ἐμψύχων ἅδε κέκευθε κόνις.

110. [167.]

Ἑλλάδι καὶ Μεγαρεῦσιν ἐλεύθερον ἆμαρ ἀέξειν
ἱέμενοι θανάτου μοῖραν ἐδεξάμεθα·
τοὶ μὲν ὑπ' Εὐβοίας ἄκρῳ πάγῳ, ἔνθα καλεῖται
ἁγνᾶς Ἀρτέμιδος τοξοφόρου τέμενος·
τοὶ δ' ἐν ὄρει Μυκάλας, τοὶ δ' ἔμπροσθεν Σαλαμῖνος,

(νηῶν Φοινισσᾶν ἐξολέσαντες Ἄρη,)
τοὶ δὲ καὶ ἐν πεδίῳ Βοιωτίῳ, οἵτινες ἔτλαν
χεῖρας ἐπ' ἀνθρώπους ἱππομάχους ἱέναι.
ἀστοὶ δὲ (μνᾶμ') ἄμμι τόδε γέρας ὀμφαλῷ ἀμφὶ
Νισαίων ἔπορον δαμοδόκων ἀγόρων.

111.

Χαίρετ' ἀριστῆες πολέμου μέγα κῦδος ἔχοντες
κοῦροι Ἀθηναίων ἔξοχοι ἱπποσύνῃ,
οἵ ποτε καλλιχόρου περὶ πατρίδος ὠλέσαθ' ἥβην
πλείστοις Ἑλλάνων ἀντία μαρνάμενοι.

112. [168.]

Τούςδε ποτ' ἐκ Σπάρτας ἀκροθίνια Φοίβῳ ἄγοντας
ἓν πέλαγος, μία νύξ, εἷς τάφος ἐκτέρισεν.

113. [169.]

Θηρῶν μὲν κάρτιστος ἐγώ, θνατῶν δ', ὃν ἐγὼ νῦν
φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς·
ἀλλ' εἰ μὴ θυμόν γε Λέων ἐμόν, οὔνομά τ' εἶχεν,
οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

114. [170.]

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις·
ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων
παίδων τ', οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

115. [172.]

Μνήσομαι, οὐ γὰρ ἔοικεν ἀνώνυμον ἐνθάδ' Ἀρχενα[illegible]
κεῖσθαι θανοῦσαν ἀγλαὰν ἄκοιτιν
Ξανθίππην, Περιάνδρου ἀπέκγονον, ὅς ποθ' ὑψιπύ[illegible]
σήμαινε λαοῖς τέρμ' ἔχων Κορίνθου.

116. [173.]

Σῆμα καταφθιμένοιο Μεγακλέος εὖτ' ἂν ἴδωμαι,
οἰκτείρω σε, τάλαν Καλλία, οἷ' ἔπαθες.

117. [61.]

Φῆ τότε Πρωτόμαχος, πατρὸς περὶ χεῖρας ἔχοντος,
ἡνίκ' ἀφ' ἱμερτὴν ἔπνεεν ἡλικίην·
ὦ Τιμηνορίδη, παιδὸς φίλου οὔποτε λήξεις
οὔτ' ἀρετὴν ποθέων, οὔτε σαοφροσύνην.

118. [62.]

Αἰαῖ, νοῦσε βαρεῖα, τί δὴ ψυχαῖσι μεγαίρεις
ἀνθρώπων ἐρατῇ παρ νεότητι μένειν·
ἣ καὶ Τίμαρχον γλυκερῆς αἰῶνος ἄμερσας
ἠΐθεον, πρὶν ἰδεῖν κουριδίην ἄλοχον.

119. [63.]

Ὕστατα δὴ τάδ' ἔειπε φίλην ποτὶ μητέρα Γοργὼ
δακρυόεσσα, δέρης χερσὶν ἐφαπτομένα·
Αὖθι μένοις παρὰ πατρί, τέκοις δ' ἐπὶ λῴονι μοίρᾳ
ἄλλην, σῷ πολιῷ γήραϊ καδεμόνα.

120. [64.]

Ἠερίη Γεράνεια, κακὸν λέπας, ὤφελεν Ἴστρον
τῆλε καὶ ἐκ Σκυθέων μακρὸν ὁρᾶν Τάναϊν,
μηδὲ πέλας ναίειν Σκειρωνικὸν οἶδμα θαλάσσης
ἄγκεα νειφομένας ἀμφὶ Μεθουριάδος·
νῦν δ' ὁ μὲν ἐν πόντῳ κρυερὸς νέκυς, οἱ δὲ βαρεῖαν
ναυτιλίην κενεοὶ τῇδε βοῶσι τάφοι.

121. [174.]

Σῆμα Θεόγνιδος εἰμὶ Σινωπέος, ᾧ μ' ἐπέθηκεν
Γλαῦκος ἑταιρείης ἀντὶ πολυχρονίου.

122. [175.]

Σῶμα μὲν ἀλλοδαπὴ κεύθει κόνις, ἐν δέ σε πόντῳ,
Κλείσθενες, Εὐξείνῳ μοῖρ' ἔκιχεν θανάτου
πλαζόμενον· γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου
ἤμπλακες οὐδ' ἵκευ Χίον ἐς ἀμφιρύτην.

123. [176.]

Αἰδὼς καὶ Κλεόδημον ἐπὶ προχοῇσι Θεαίρου
ἀενάου στονόεντ᾽ ἤγαγεν εἰς θάνατον
Θρηϊκίῳ κύρσαντα λόχῳ· πατρὸς δὲ κλεεννόν
Διφίλου αἰχμητὴς υἱὸς ἔθηκ᾽ ὄνομα.

124. [177.]

Τῶν αὑτοῦ τις ἕκαστος ἀπολλυμένων ἀνιᾶται·
Νικόδικον δὲ φίλοι καὶ πόλις ἥδε πόλη.

125. [178.]

Χαίρει τις, Θεόδωρος ἐπεὶ θάνον· ἄλλος ἐπ᾽ αὐτῷ
χαιρήσει· θανάτῳ πάντες ὀφειλόμεθα.

126. [179.]

Ἐνθάδε Πυθώνακτα κασίγνητόν τε κέκευθεν
γαῖ᾽, ἐρατῆς ἥβης πρὶν τέλος ἄκρον ἰδεῖν·
μνῆμα δ᾽ ἀποφθιμένοισι πατὴρ Μεγάριστος ἔθηκεν
ἀθάνατον θνητοῖς παισὶ χαριζόμενος.

127. [180.]

Ἄνθρωπ᾽, οὐ Κροίσου λεύσσεις τάφον· ἀλλὰ γὰρ ἀνδ
χερνήτεω μικρὸς τύμβος, ἐμοὶ δ᾽ ἱκανός·
οὐκ ἐπιδὼν νύμφεια λέχη κατέβην τὸν ἄφυκτον
Γόργιππος ξανθῆς Φερσεφόνης θάλαμον.

128. [209.]

Ἀργεῖος Δάνδης σταδιοδρόμος ἐνθάδε κεῖται
νίκαις ἱππόβοτον πατρίδ᾽ ἐπευκλεΐσας,
Ὀλυμπίᾳ δίς, ἐν δὲ Πυθῶνι τρία,
δύω δ᾽ ἐν Ἰσθμοῖ, πεντεκαίδεκ᾽ ἐν Νεμέᾳ,
τὰς δ᾽ ἄλλας νίκας οὐκ εὐμαρές ἐστ᾽ ἀριθμῆσαι.

129. [181.]

Σᾶμα τάδε Σπίνθηρι πατὴρ ἐπέθηκε θανόντι.

130. [182.]

Κρὴς γενεὰν Βρόταχος Γορτύνιος ἐνθάδε κεῖμαι,
οὐ κατὰ τοῦτ᾽ ἐλθών, ἀλλὰ κατ᾽ ἐμπορίαν.

131. [183.]

Οὗτος ὁ τοῦ Κείοιο Σιμωνίδεω ἐστὶ σαωτήρ,
ὃς καὶ τεθνηὼς ζῶντι παρέσχε χάριν.

132. [184.]

Οἱ μὲν ἐμὲ κτείναντες ὁμοίων ἀντιτύχοιεν,
Ζεῦ Ξένι᾽, οἱ δ᾽ ὑπὸ γᾶν θέντες ὄναιντο βίου.

133. [185.]

Ἦ σεῦ καὶ φθιμένας λεύκ᾽ ὀστέα τῷδ᾽ ἐνὶ τύμβῳ
ἴσκω ἔτι τρομέειν θῆρας, ἄγρωσσα Λυκάς·
τὰν δ᾽ ἀρετὰν οἶδεν μέγα Πήλιον ἅ τ᾽ ἀρίδηλος
Ὄσσα, Κιθαιρῶνός τ᾽ οἰονόμοι σκοπιαί.

ΑΝΑΘΗΜΑΤΙΚΑ.

134. [187.]

Ἦ μέγ᾽ Ἀθηναίοισι φόως γένεθ᾽ ἡνίκ᾽ Ἀριστο-
γείτων Ἵππαρχον κτεῖνε καὶ Ἁρμόδιος.

135. [188.]

Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες
παῖδες Ἀθηναίων ἔργμασιν ἐν πολέμου
δεσμῷ ἐν ἀχλυόεντι σιδηρέῳ ἔσβεσαν ὕβριν·
τῶν ἵππους δεκάτην Παλλάδι τάσδ᾽ ἔθεσαν.

136. [189.]

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων,
τὸν μετ᾽ Ἀθηναίων στήσατο Μιλτιάδης.

137. [190.]

Ταῦτ' ἀπὸ δυςμενέων Μήδων ναῦται Διοδώρου
ὅπλ' ἀνέθεν Λατοῖ μνάματα ναυμαχίας.

* 138. [192.]

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίης ἀπὸ χώρας
παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
ναυμαχίῃ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

139. [193.]

Δημόκριτος τρίτος ἦρξε μάχης, ὅτε πὰρ Σαλαμῖνα
Ἕλληνες Μήδοις σύμβαλον ἐν πελάγει·
πέντε δὲ νῆας ἕλεν δηΐων, ἕκτην δ' ὑπὸ χεῖρα
ῥύσατο βαρβαρικὴν Δωρίδ' ἁλισκομένην.

140. [194.]

Αἵδ' ὑπὲρ Ἑλλάνων τε καὶ ἰθυμάχων πολιητᾶν
ἐστάθεν εὐξάμεναι Κύπριδι δαιμονίᾳ·
οὐ γὰρ τοξοφόροισιν ἐμήδετο δῖ' Ἀφροδίτα
Μήδοις Ἑλλάνων ἀκρόπολιν προδόμεν.

* 141. [195.]

Ἑλλάδος εὐρυχόρου σωτῆρες τόνδ' ἀνέθηκαν,
δουλοσύνης στυγερᾶς ῥυσάμενοι πόλιας.

142. [196.]

Φημὶ Γέλων', Ἱέρωνα, Πολύζηλον, Θρασύβουλον,
παῖδας Δεινομένευς, τὸν τρίποδ' ἀνθέμεναι,
ἐξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων
Δαμαρετίου χρυσοῦ, τᾶς δεκάτας δεκάταν,
βάρβαρα νικήσαντας ἔθνη· πολλὴν δὲ παρασχεῖν
σύμμαχον Ἕλλησιν χεῖρ' ἐς ἐλευθερίην.

143. [198.]

Ἑλλάνων ἀρχαγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων
Παυσανίας, Φοίβῳ μνᾶμ' ἀνέθηκε τόδε.

144. [199.]

Τόνδε ποθ' Ἕλληνες, νίκης κράτει ἔργῳ Ἄρηος
εὐτόλμῳ ψυχῆς λήματι πειθόμενοι
Πέρσας ἐξελάσαντες, ἐλευθέρᾳ Ἑλλάδι κοινόν
ἱδρύσαντο Διὸς βωμὸν Ἐλευθερίου.

145. [200.]

Τόξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος
νηῷ Ἀθηναίης κεῖται ὑπωρόφια,
πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαῒ φωτῶν
Περσῶν ἱππομάχων αἵματι λουσάμενα.

146. [201.]

Οὕτω τοι, μελία ταναά, ποτὶ κίονα μακρόν
ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά·
ἤδη γὰρ χαλκός τε γέρων αὐτά τε τέτρυσαι
πυκνὰ κραδαινομένα δαΐῳ ἐν πολέμῳ.

147. [202.]

Ἓξ ἐπὶ πεντήκοντα, Σιμωνίδη, ἤραο ταύρους
καὶ τρίποδας, πρὶν τόνδ' ἀνθέμεναι πίνακα·
τοσσάκι δ' ἱμερόεντα διδαξάμενος χορὸν ἀνδρῶν
εὐδόξου Νίκας ἀγλαὸν ἅρμ' ἐπέβης.

148. [203.]

Ἦρχεν Ἀδείμαντος μὲν Ἀθηναίοις, ὅτ' ἐνίκα
Ἀντιοχὶς φυλὴ δαιδάλεον τρίποδα·
Ξεινοφίλου δὲ τόθ' υἱὸς Ἀριστείδης ἐχορήγει
πεντήκοντ' ἀνδρῶν καλὰ μαθόντι χορῷ·
ἀμφὶ διδασκαλίῃ δὲ Σιμωνίδῃ ἕσπετο κῦδος
ὀγδωκονταέτει παιδὶ Λεωπρέπεος.

149. [204.]

Μνήμῃ δ' οὔτινά φημι Σιμωνίδῃ ἰσοφαρίζειν
ὀγδωκονταέτει παιδὶ Λεωπρέπεος.

150. [205.]

Πολλάκι δὴ φυλῆς Ἀκαμαντίδος ἐν χορεοῖσιν Ὧραι
ἀνωλόλυξαν κισσοφόροις ἐπὶ διθυράμβοις
αἱ Διονυσιάδες, μίτραισι δὲ καὶ ῥόδων ἀώτοις
σοφῶν ἀοιδῶν ἐσκίασαν λιπαρὰν ἔθειραν,
οἳ τόνδε τρίποδά σφισι μάρτυρα Βακχίων ἀέθλων
ἔθηκαν· κείνους δ' Ἀντιγένης ἐδίδασκεν ἄνδρας.
εὖ δ' ἐτιθηνεῖτο γλυκερὰν ὄπα Δωρίοις Ἀρίστων
Ἀργεῖος ἡδὺ πνεῦμα χέων καθαροῖς ἐν αὐλοῖς·
τῶν ἐχορήγησεν κύκλον μελίγηρυν Ἱππόνικος,
Στρούθωνος υἱός, ἅρμασιν ἐν Χαρίτων φορηθείς,
αἵ οἱ ἐπ' ἀνθρώπους ὄνομα κλυτὸν ἀγλαάν τε νίκαν
θῆκαν, ἰοστεφάνων θεᾶν ἕκατι Μοισᾶν.

151. [206.]

Γνῶθι Θεόγνητον προσιδὼν τὸν Ὀλυμπιονίκαν
παῖδα, παλαισμοσύνας δεξιὸν ἡνίοχον,
κάλλιστον μὲν ἰδεῖν, ἀθλεῖν δ' οὐ χείρονα μορφῆς,
ὃς πατέρων ἀγαθῶν ἐστεφάνωσε πόλιν.

152. [207.]

Στροίβου παῖ, τόδ' ἄγαλμα, Λεώκρατες, εὖτ' ἀνέθη
Ἑρμῇ, καλλικόμους οὐκ ἔλαθες Χάριτας,
οὐδ' Ἀκαδήμειαν πολυγαθέα, τῆς ἐν ἀγοστῷ
σὴν εὐεργεσίην τῷ προσιόντι λέγω.

153. [208.]

Πατρίδα κυδαίνων ἱερὴν πόλιν Ὦπις Ἀθάνας,
τέκνον μελαίνης γῆς, χαρίεντας αὐλούς
τούςδε σὺν Ἡφαίστῳ τελέσας ἀνέθηκ' Ἀφροδίτῃ,
καλοῦ δαμασθεὶς ἱμέρῳ Βρύσωνος.

154. [210.]

Πατρὶς μὲν Κόρκυρα, Φίλων δ' ὄνομ', εἰμὶ δὲ Γλαύκου
υἱὸς καὶ νικῶ πὺξ δύ' ὀλυμπιάδας.

155. [211.]

Ἴσθμια καὶ Πυθοῖ Διοφῶν ὁ Φίλωνος ἐνίκα
ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην.

156. [212.]

Εἰπὸν τίς, τίνος ἐσσί, τίνος πατρίδος, τί δὲ νίκης;
Κασμύλος, Εὐαγόρου, Πύθια πύξ, Ῥόδιος.

157. [213.]

Ἄνθηκεν τόδ' ἄγαλμα Κορίνθιος ὅςπερ ἐνίκα
ἐν Δελφοῖς ποτε Νικολᾴδας,
καὶ Παναθηναίοις στεφάνους λάβε πέντ' ἐπ' ἀέθλοις
ἑξῆς, ἀμφιφορεῖς ἐλαίου·
Ἰσθμῷ δ' ἐν ζαθέᾳ τρὶς ἐπισχερώ, οὐδ' ἐγένοντο
ἀκτίνων τομίδων ποταθμοί.
καὶ Νεμέᾳ τρὶς ἐνίκησεν, καὶ τετράκις ἄλλα
Πελλάνᾳ, δύο δ' ἐν Λυκαίῳ,
καὶ Τεγέᾳ καὶ ἐν Αἰγίνᾳ κρατερᾷ τ' Ἐπιδαύρῳ,
καὶ Θήβᾳ Μεγάρων τε δάμῳ.
ἐν δὲ Φλιοῦντι σταδίῳ τά τε πέντε κρατήσας
ηὔφρανεν μεγάλαν Κόρινθον.

158. [214.]

Μίλωνος τόδ' ἄγαλμα καλοῦ καλόν, ὃς ποτὶ Πίσῃ
ἑπτάκι νικήσας ἐς γόνατ' οὐκ ἔπεσεν.

159. [215.]

Ἀρτέμιδος τόδ' ἄγαλμα — διηκόσιαι γὰρ ὁ μισθὸς
δραχμαὶ ταὶ Πάριαι, τῶν ἐπίσημα τράγος· —
ἀσκητῶς ἐποίησεν Ἀθηναίης παλάμῃσιν
Ἄξιος Ἀρκεσίλας υἱὸς Ἀριστοδίκου.

160. [216.]

Κρὴς Ἄλκων Διδύμου Φοίβῳ στέφος Ἴσθμι' ἑλὼν πύξ.

161. [217.]

Τόνδ' ἀνέθηκ' Ἑρμῆν Δημήτριος, ὄρθια δ' οὐχί,
ἐν προθύροις.

162. [218.]

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱὸς περθομέναν Ἰλίου ἀκρόπολιν.

163. [219.]

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν·
τὴν δ' ἐξιόντων δεξιὰν Διονύσιος.

164. [221.]

Ἰφίων τόδ' ἔγραψε Κορίνθιος· οὐκ ἔνι μῶμος
χερσίν, ἐπεὶ δόξας ἔργα πολὺ προφέρει.

165. [223.]

Πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν
ἰχθῦς ἐξ Ἄργους ἐς Τεγέαν ἔφερον.

166.

Εὔχεό τοι δώροισι, Κύτων, θεὸν ὧδε χαρῆναι
Λητοΐδην ἀγορῆς καλλιχόρου πρύτανιν,
ὥςπερ ὑπὸ ξείνων τε καὶ οἳ ναίουσι Κόρινθον
αἶνον ἔχεις Χαρίτων, δέσποτα, τοῖς στεφάνοις.

167.

Σῶσος καὶ Σωσω σωτήρια τόνδ' ἀνέθηκαν·
Σῶσος μὲν σωθείς, Σωσὼ δ' ὅτι Σῶσος ἐσώθη.

(*ΠΑΙΓΝΙΑ.*)

170. [227.]

Τῇ ῥά ποτ' Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὠκὺς ἀπὸ Θρήκης ὀρνύμενος Βορέης,
ἀνδρῶν δ' ἀχλαίνων ἔδακε φρένας, αὐτὰρ ἐθάφθη
ζωή, Πιερίην γῆν ἐπιεσσαμένη,
ἔν τις ἐμοὶ καὶ τῆς χεέτω μέρος· οὐ γὰρ ἔοικεν
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

171. [186.]

Πολλα πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ᾽ εἰπὼν
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

172. [288.]

Οὐδὲ γὰρ οὐδ᾽ εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο.

173. [229.]

Μοῦσά μοι Ἀλκμήνης καλλισφύρου υἱὸν ἄειδε·
υἱὸν Ἀλκμήνης ἄειδε Μοῦσά μοι καλλισφύρου.

174. [230.]

Μιξονόμου τε πατὴρ ἐρίφου καὶ σχέτλιος ἰχθύς
πλησίον ἠρείσαντο καρήατα· παῖδα δὲ νυκτός
δεξάμενοι βλεφάροισι, Διωνύσοιο ἄνακτος
βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

175. [231.]

Φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
τῷ Πανοπηϊάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ.

176. [224.]

*Φοῖβος ἐσαγεῖται * Τυνδαρίδῃσιν ἀοίδησαν*
ἄμετροι τέττιγες ἐπεστέψαντο χορωνῷ.

177.

Χρυσῷ δ᾽ αἰγλήεντι συνήρμοσεν ἀμφιδασείας
κόρσας καὶ στόμα λαβρὸν ὀπισθοδέτοισιν ἱμᾶσιν.

EPIGRAMMATA FALSO SIMONIDI TRIBUTA.

178.

Βοίδιον ηὐλητρὶς καὶ Πυθιὰς αἵ ποτ᾽ ἐρασταί
σοὶ Κύπρι τὰς ζώνας τάς τε γραφὰς ἔθεσαν·
ἔμπορε καὶ φορτηγέ, τὸ σὸν βαλλάντιον οἶδεν
καὶ πόθεν αἱ ζῶναι καὶ πόθεν αἱ πίνακες.

162. [218.]

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱὸς περθομέναν Ἰλίου ἀκρόπολιν.

163. [219.]

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν·
τὴν δ' ἐξιόντων δεξιὰν Διονύσιος.

164. [221.]

Ἰφίων τόδ' ἔγραψε Κορίνθιος· οὐκ ἔνι μῶμος
χερσίν, ἐπεὶ δόξας ἔργα πολὺ προφέρει.

165. [223.]

Πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν
ἰχθῦς ἐξ Ἄργους ἐς Τεγέαν ἔφερον.

166.

Εὔχεό τοι δώροισι, Κύτων, θεὸν ὧδε χαρῆναι
Λητοΐδην ἀγορῆς καλλιχόρου πρύτανιν,
ὥςπερ ὑπὸ ξείνων τε καὶ οἳ ναίουσι Κόρινθον
αἶνον ἔχεις Χαρίτων, δέσποτα, τοῖς στεφάνοις.

167.

Σῶσος καὶ Σωσω σωτήρια τόνδ' ἀνέθηκαν·
Σῶσος μὲν σωθείς, Σωσὼ δ' ὅτι Σῶσος ἐσώθη.

(*ΠΑΙΓΝΙΑ.*)

170. [227.]

Τῇ ῥά ποτ' Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὠκὺς ἀπὸ Θρήκης ὀρνύμενος Βορέης,
ἀνδρῶν δ' ἀχλαίνων ἔδακε φρένας, αὐτὰρ ἐθάφθη
ζωή, Πιερίην γῆν ἐπιεσσαμένη,
ἔν τις ἐμοὶ καὶ τῆς χεέτω μέρος· οὐ γὰρ ἔοικεν
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

171. [186.]

Πολλα πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ' εἰπὼν
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

172. [288.]

Οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο.

173. [229.]

Μοῦσά μοι Ἀλκμήνης καλλισφύρου υἱὸν ἄειδε·
υἱὸν Ἀλκμήνης ἄειδε Μοῦσά μοι καλλισφύρου.

174. [230.]

Μιξονόμου τε πατὴρ ἐρίφου καὶ σχέτλιος ἰχθύς
πλησίον ἠρείσαντο κάρηατα· παῖδα δὲ νυκτός
δεξάμενοι βλεφάροισι, Διωνύσοιο ἄνακτος
βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

175. [231.]

Φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
τῷ Πανοπηϊάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ.

176. [224.]

*Φοῖβος ἐσαγεῖται * Τυνδαρίδῃσιν ἀοίδησαν*
ἄμετροι τέττιγες ἐπεστέψαντο χορωνῷ.

177.

Χρυσῷ δ' αἰγλήεντι συνήρμοσεν ἀμφιδασείας
κόρσας καὶ στόμα λαβρὸν ὀπισθοδέτοισιν ἱμᾶσιν.

EPIGRAMMATA FALSO SIMONIDI TRIBUTA.

178.

Βοίδιον ηὐλητρὶς καὶ Πυθιὰς αἵ ποτ' ἐρασταὶ
σοὶ Κύπρι τὰς ζώνας τάς τε γραφὰς ἔθεσαν·
ἔμπορε καὶ φορτηγέ, τὸ σὸν βαλλάντιον οἶδεν
καὶ πόθεν αἱ ζῶναι καὶ πόθεν αἱ πίνακες.

179.

Χειμερίην νιφετοῖο κατήλυσιν ἡνίκ' ἀλύξας
Γάλλος ἐρημαίην ἤλυθ' ὑπὸ σπιλάδα,
ὑετὸν ἄρτι κόμης ἀπομόρξατο· τοῦ δὲ κατ' ἴχνος
βουφάγος εἰς κοίλην ἀτραπὸν ἵκτο λέων·
αὐτὰρ ὁ πεπταμένῃ μέγα τύμπανον ὃ σχέθε χειρὶ
ἤραξεν, καναχῇ δ' ἴαχεν ἄντρον ἅπαν·
οὐδ' ἔτλη Κυβέλης ἱερὸν βρόμον ὑλονόμος θὴρ
μεῖναι, ἀν' ὑλῆεν δ' ὠκὺς ἔθυνεν ὄρος,
δείσας ἡμιγύναικα θεῆς λάτριν, ὃς τάδε Ῥείᾳ
ἔνδυτα καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους.

180.

Ἐσβέσθης γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

181.

Βωμοὺς τούςδε θεοῖς Σοφοκλῆς ἱδρύσατο πρῶτος,
ὃς πλεῖστον Μούσης εἶχε κλέος τραγικῆς.

182.

Οἵδε τριηκόσιοι, Σπάρτᾳ πατρί, τοῖς συναρίθμοις
Ἰναχίδαις Θυρεᾶν ἀμφὶ μαχεσσάμενοι
αὐχένας οὐ στρέψαντες, ὅπᾳ ποδὸς ἴχνια πρᾶτον
ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
καρύσσει, Θυρέα, Ζεῦ, Λακεδαιμονίων.
αἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἦς ἀπ' Ἀδράστου,
Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.

183.

Ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε, μῆτερ ὀπώρας,
οὔλης ἣ σκολιὸν πλέγμα φύεις ἕλικος,
Τηΐου ἡβήσειας Ἀνακρείοντος ἐπ' ἄκρῃ
στήλῃ καὶ λεπτῷ χώματι τοῦδε τάφου·
ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλόκωμος
παννύχιος κρούων τὴν φιλόπαιδα χέλυν,

κὴν χθονὶ πεπτηὼς κεφαλῆς ἐφύπερθε φέροιτο
ἀγλαὸν ὡραίων βότρυν ἀπ' ἀκρεμόνων,
καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς
λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.

184. [171.]

Οὗτος Ἀνακρείοντα τὸν ἄφθιτον εἵνεκα Μουσῶν
ὑμνοπόλον πάτρης τύμβος ἔδεκτο Τέω,
ὃς Χαρίτων πνείοντα μέλη, πνείοντα δ' Ἐρώτων
τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο·
μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων
ἠέλιον, Λήθης ἐνθάδ' ἔκυρσε δόμων,
ἀλλ' ὅτι τὰν χαρίεντα μετ' ἠϊθέοισι Μεγιστέα
καὶ τὸν Σμερδίεω Θρῆκα λέλοιπε πόθον·
μολπῆς δ' οὐ λήθη μελιτερπέος, ἀλλ' ἔτ' ἐκεῖνον
βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ.

185. A.

Τίς ἅδε; B. *Βάκχα.* A. *τίς δέ μιν ξέσε;* B. *Σκόπας.*
Τίς δ' ἐξέμηνε, Βάκχος ἢ Σκόπας; B. *Σκόπας.*

185. B.

Τὸν ἐν Ῥόδῳ κολοσσὸν ὀκτάκις δέκα
Χάρης ἐποίει πηχέων ὁ Λίνδιος.

186.

Δῆμος Ἀθηναίων σε, Νεοπτόλεμ', εἰκόνι τῇδε
τίμησ' εὐνοίης εὐσεβίης θ' ἕνεκα.

187.

Τίς εἰκόνα τάνδ' ἀνέθηκεν; B. *Δωριεὺς ὁ Θούριος.*
Οὐ Ῥόδιος γένος ἦν; B. *Ναί, πρὶν φυγεῖν γε πατρίδα,*
δεινᾷ γε χειρὶ πολλὰ ῥέξας ἔργα καὶ βίαια.

188.

Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,
οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ,
Ἀριστόδαμος Θράσιδος Ἀλεῖος πάλᾳ.

XXV.

TIMOCREON.

ΜΕΛΗ.

1.

S t r o p h a.

. . . .
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓́ ⏑ – – –́ ⏑ – –

E p o d u s.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – – ⏑ – –
–́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓́ ⏑ – – –́ ⏑ – ⏓
– ⏑⏑́ ⏑ – – –́ ⏑ – ⏓
⏓́ ⏑ – ⏓́ ⏑ – – –́ ⏑ – ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – ⏓́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓́ ⏑ – –

Ἀλλ' εἰ τύγε Παυσανίαν ἢ καὶ τύγε Ξάνθιππον αἰνέει
ἢ τύγε Λευτυχίδαν, ἐγὼ δ' Ἀριστείδαν ἐπαινέω
ἄνδρ' ἱερᾶν ἀπ' Ἀθανᾶν
ἐλθεῖν ἕνα λῷστον, ἐπεὶ Θεμιστοκλῆ' ἤχθαρε Λατι
ψεύσταν, ἄδικον, προδόταν, ὃς Τιμοκρέοντα
ξεῖνον ἐόντ' ἀργυρίοισι κυβαλικοῖσι πεισθεὶς οὐ κι
ἐς πατρίδ' Ἰάλυσον, λαβὼν δὲ

τρί' ἀργύρου τάλαντ' ἔβα πλέων εἰς ὄλεθρον,
τοὺς μὲν κατάγων ἀδίκως, τοὺς δ' ἐκδιώκων, τοὺς δὲ καίνων,
ἀργυρίων ὑπόπλεως·
Ἰσθμοῖ δὲ πανδόκευε γλοιῶς ψυχρὰ κρέα παρέχων·
οἱ δ' ἤσθιον κηὔχοντο μὴ ὥραν Θεμιστοκλέους γενέσθαι.

2.

–́ ⏑ – ⏓ –́ ⏑ –
⏖́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – ⏓

Μοῦσα, τοῦδε τοῦ μέλεος
κλέος ἀν' Ἕλλανας τίθει,
ὡς ἐοικὸς καὶ δίκαιον.

3.

–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ –
– –́ ⏑ – ⏓ –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – ⏓ –́ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ . . . .

Οὐκ ἄρα Τιμοκρέων μοῦνος
Μήδοισιν ὁρκιατομεῖ,
ἀλλ' ἐντὶ κἄλλοι δὴ πονηροί·
οὐκ ἐγὼ μόνα κόλουρις·
ἐντὶ καὶ ἄλλαι ἀλώπεκες.

6.

⏑ ⏑ –́ – ⏑ ⏑ –́
⏑ ⏑ –́ – ⏑ ⏑ –́

Σικελὸς κομψὸς ἀνὴρ
ποτὶ τὰν ματέρ' ἔφα.

8.

ΣΚΟΛΙΟΝ.

–́ ⏑ – – –́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓
–́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ – ⏑ ⏖́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

"Ὤφελέν σ', ὦ τυφλὲ Πλοῦτε, μήτε γῇ μήτ' ἐν θαλ[άσσῃ]
μήτ' ἐν ἠπείρῳ φανῆμεν,
ἀλλὰ Τάρταρόν τε ναίειν κἀχέροντα· διὰ σὲ γὰρ π[άντ']
(ἔστ') ἐν ἀνθρώποις κακά.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

9.

Ὧι ξυμβουλεύειν χὲρς ἄπο, νοῦς δὲ πάρα.

10.

Κῆϊα με προςῆλθε φλυαρία οὐκ ἐθέλοντα.
Οὐκ ἐθέλοντά με προςῆλθε Κῆϊα φλυαρία.

XXVII.

CORINNA.

ΒΟΙΩΤΟΣ.

1.

x
◡◡ ◡ –́ ◡ ◡ – ◡ ◡ – – –́ ◡ – ◡ – ⏓

Τοὺ δέ, μάκαρ Κρονίδα, τοὺ Ποτειδάων ἄναξ Βοιωτ[ε]

ΚΑΤΑΠΛΟΥΣ.

2.

x
– – –́ ◡ ◡ – ◡ –
◡◡ ◡ ◡ – –́ ◡ ◡ –
–́ ◡ – ◡ – ⏓

Νίκασ' ὁ μεγαλοσθένης
Ὠαρίων, χώραν τ' ἀπ' ἑοῦς
πᾶσαν ὠνούμηνεν.

XXVIII.

LAMPROCLES.

1.

´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ – ⏑
⏑ ´– – ´– ⏑ ⏑ – ⏑ ⏑ – –
´– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓

Παλλάδα περσέπολιν, δεινὰν θεὸν ἐγρεκύδοιμον
ποτικλήζω πολεμαδόκον, ἁγνάν
παῖδα Διὸς μεγάλου δαμάσιππον.

2.

. . . . . – ⏑ ⏑ – –
⏑ ´– ⏑ – ⏑ ´– ⏑ ⏑ – ⏑ ⏑ – ⏓

Αἴτε ποταναῖς
ὁμώνυμοι πελειάσιν αἰθέρι κεῖσθε.

XXIX.

PRATINAS.

ΥΠΟΡΧΗΜΑΤΑ.

1.

´⏖ ⏑ ⏑ ´⏖ ⏑ ⏑ ´⏖ ⏑ ⏑ ´– ⏑ ⏓
´⏖ ⏑ ⏑ ´⏖ ⏑ ⏓
⏑ ⏑ ´– ⏑ ⏑ ⏖ ⏑ ⏑ ´⏖ ⏑ ⏑ –
⏑ ⏑ ´⏖ ⏑ ⏑ ⏖
⏑ ⏑ ´– ⏑ ⏑ – ⏑ ⏑ ´– ⏑ ⏑ –
⏑ ⏑ ´⏖ ⏑ ⏑ – ⏑ ⏑ ´– ⏑ ⏑ –

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – ⏑ –́ ⏑ ⏓
–́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ –́ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – – –
– –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ –
× ⏑ –́ ⏑ ⏑ – – ⏑
–́ ⏑ – ⏑ –́ ⏑ – –
⏔́ ⏑ ⏔ ⏑ ⏔́ ⏑ ⏔́ ⏑
⏔́ ⏑ ⏔ ⏔́ ⏑ ⏔ ⏔́ ⏑ –
⏑ –́ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –
–́ ⏑ – –́ ⏑ – –́ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ – ⏑
–́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – –́

Τίς ὁ θόρυβος ὅδε; τί τάδε τὰ χορεύματα;
τίς ὕβρις ἔμολεν ἐπὶ
Διονυσιάδα πολυπάταγα θυμέλαν;
ἐμὸς ἐμὸς ὁ Βρόμιος·
ἐμὲ δεῖ κελαδεῖν, ἐμὲ δεῖ παταγεῖν
ἀν' ὄρεα σύμενον μετὰ Ναϊάδων
οἷά τε κύκνον ἄγοντα
ποικιλόπτερον μέλος.
τὰν ἀοιδὰν κατέστασε Πιερὶς βασίλειαν· ὁ
ὕστερον χορευέτω· καὶ γάρ ἐσθ' ὑπηρέτας.
κώμῳ μόνον θυραμάχοις τε πυγμαχίαισι ν
οἴνω
ἔμμεναι στρατηλάτας.
παῖε, τὸν Φρύγ' ἀοιδοῦ
ποικίλου προαχέοντα·
φλέγε τὸν ὀλεσισιαλοκάλαμον,
λαλοβαρυόπα παραμελορυθμοβάταν θ'
ὑπαὶ τρυπάνῳ δέμας πεπλασμένον.
ἢν ἰδού· ἅδε σοι δεξιά
καὶ ποδὸς διαρριφά, θριαμβοδιθύραμβ
κισσόχαιτ' ἄναξ ἄκουε τὰν ἐμὰν Δώριι

2.

∪ –́ ∪ – – –́ ∪ ∪ – ∪ ⏓

Λάκων ὁ τέττιξ εὔτυκος ἐς χορόν.

3.

– –́ ∪ – ∪ –́ ∪ –

Γᾶν αὐλακισμέναν ἀρῶν.

5.

–́ ∪ – ∪ –́ ∪ – ∪ –́ ∪ – ∪ –́ ∪ – ∪ –́ ∪ ⏓
–́ ∪ – – –́ ∪ – ∪ – ⏓
–́ ∪ – ∪́ –́ ∪ –

* * *

∪ –́ – –́ ∪ ∪ – –́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ –

Μήτε σύντονον δίωκε, μήτε τὰν ἀνειμέναν Ἰαστὶ μοῦσαν,
ἀλλὰ τὰν μέσσαν νεῶν ἄρουραν
αἰόλιζε τῷ μέλει.

* * *

Πρέπει τοι πᾶσιν ἀοιδὰ λαβράκταις Αἰολὶς ἁρμονία.

XXX.

P H R Y N I C H U S.

ΕΙΣ ΑΘΗΝΑΝ.

1.

–́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – –
–́ ⏕ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – – –́ ∪ ⏓

Παλλάδα περσέπολιν κλῄζω, πολεμαδόκον, ἁγνὰν
παῖδα Διὸς μεγάλου, δαμόπωλον, ἄϊστον παρθένον.

2.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ – ⏓

Λάμπει δ' ἐπὶ πορφυρέαις παρῇσι φῶς ἔρωτος,

ΕΠΙΓΡΑΜΜΑΤΑ.

3.

Σχήματα δ' ὄρχησις τόσα μοι πόρεν, ὅσσ' ἐνὶ πό
κύματα ποιεῖται χείματι νὺξ ὀλοή.

XXXI.

DIAGORAS.

1.

ΕΙΣ ΑΡΙΑΝΘΗΝ ΑΡΓΕΙΟΝ.

⏑ –́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – ×– –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Θεός, θεὸς πρὸ παντὸς ἔργον βροτείον νωμᾷ φρέν
τάταν,
αὐτοδαὴς δ' ἀρετὰ βραχὺν οἶμον ἕρπει.

2.

ΕΙΣ ΝΙΚΟΔΩΡΟΝ ΜΑΝΤΙΝΕΑ.

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ –
⏑ –́ ⏑ ⏑ – ⏑ –́ ⏑ – –

Κατὰ δαίμονα καὶ τύχαν
τὰ πάντα βροτοῖσιν ἐκτελεῖται.

XXXIII.

CLEOMACHUS.

Τίς τὴν ὑδρίην ἡμῶν
ἐψόφησ'; ἐγὼ πίνων.

XXXIV.

CYDIAS.

1.

\- ᴗ - - - ᴗ ᴗ - ᴗ ᴗ - -
\- ᴗ - - - ᴗ - - - ᴗ -

Εὐλαβεῦ δὲ μὴ κατέναντα λέοντος
νεβρὸς ἐλθὼν μοῖραν αἱρεῖσθαι κρεῶν.

XXXV.

PRAXILLA.

ΥΜΝΟΙ.

1.

Κάλλιστον μὲν ἐγὼ λείπω φάος ἠελίοιο,
δεύτερον ἄστρα φαεινὰ σεληναίης τε πρόσωπον
ἠδὲ καὶ ὡραίους σικύους καὶ μῆλα καὶ ὄγχνας.

ΔΙΘΥΡΑΜΒΟΙ.

ΑΧΙΛΛΕΥΣ.

2.

Ἀλλὰ τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.

ΠΑΡΟΙΝΙΑ.

3.

Ἀδμήτου λόγον, ὦ 'ταῖρε, μαθὼν τοὺς ἀγαθοὺς ς
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλῶν ὀλίγα χάρ

4.

Ὑπὸ παντὶ λίθῳ σκορπίον, ὦ 'ταῖρε, φυλάσσεο.

5.

-́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –
-́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Ὦ διὰ τῶν θυρίδων καλὸν ἐμβλέποισα,
παρθένε τὰν κεφαλάν, τὰ δ' ἔνερθε νύμφα.

XXXVI.

BACCHYLIDES.

ΕΠΙΝΙΚΟΙ.

1. [1.]*)

–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ –

Ολβιος, ᾧτινι θεὸς μοῖράν τε καλῶν ἔπορεν
σύν τ' ἐπιζάλῳ τύχᾳ ἀφνειὸν βιοτὰν διάγειν·
οὐ γάρ τις ἐπιχθονίων πάντα γ' εὐδαίμων ἔφυ.

2. [3.]

– –́ ⏑ – – –́ ⏑ – ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏒
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

Θνατοῖσι μὴ φῦναι φέριστον,
μηδ' ἀελίου προσιδεῖν φέγγος·
ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον.

* 3. [34.]

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –

Παύροισι δὲ θνατῶν τὸν ἅπαντα χρόνον τῷ δαίμονι δῶκεν
πράσσοντας ἐν καιρῷ πολιοκρόταφον
γῆρας ἱκνεῖσθαι, πρὶν ἐγκύρσαι δύᾳ.

4. [2.]

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – –

Ὡς δ' ἅπαξ εἰπεῖν, φρένα καὶ πυκινὰν κέρδος ἀνθρώπων
βιᾶται.

---

*) **Numeri adiecti sunt editionis Neuianae.**

* 6. [5.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏒ – –́ ⏑ . . . .

Ξανθότριχα μὲν Φερένικον
Ἀλφεὸν παρ' εὐρυδίναν πῶλον ἀελλοδρόμον
νικάσαντα.

* 7. [6.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ –́ – ⏑ –

Ὦ Πέλοπος λιπαρᾶς νάσου θεόδματοι πύλαι.

* 9. [8.]

. . . – – ⏑ ⏑ – ⏑ . . .
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ –

. . . . Νίκα γλυκύδωρος . . .
ἐν πολυχρύσῳ δ' Ὀλύμπῳ Ζηνὶ παρισταμένα κρί
ἀθανάτοισί τε καὶ θνατοῖς ἀρετᾶς.

ΥΜΝΟΙ.

11. [10.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ ⏓

Αἰαῖ τέκος ἁμέτερον,
μεῖζον ἢ πενθεῖν ἐφάνη κακόν, ἀφθέγκτοισιν ἰσ

ΠΑΙΑΝΕΣ.

13. [12.]

– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏑ –
⏓ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
⏑ ⏑ –́ – –́ ⏑ – –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –

Τίκτει δέ τε θνατοῖσιν εἰράνα μεγάλα
πλοῦτον καὶ μελιγλώσσων ἀοιδᾶν ἄνθεα,
δαιδαλέων τ' ἐπὶ βωμῶν θεοῖσιν αἴθεσθαι βοῶν
ξανθᾷ φλογὶ μῆρα τανυτρίχων τε μήλων,
γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλειν.
ἐν δὲ σιδαροδέτοις πόρπαξιν αἰθᾶν
ἀραχνᾶν ἱστοὶ πέλονται·
ἔγχεά τε λογχωτὰ ξίφεά τ' ἀμφάκεα δάμναται εὐρώς·
χαλκεᾶν δ' οὐκ ἔστι σαλπίγγων κτύπος·
οὐδὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων,
ἀμὸν ὃς θάλπει κέαρ.
συμποσίων δ' ἐρατῶν βρίθοντ' ἀγυιαί, παιδικοί θ' ὕμνοι φλέγονται.

14. [13.]

⏕ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏕ ⏑ –́ ⏑ ⏑ –
–́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ –
⏓ –́ . . .

Ἕτερος ἐξ ἑτέρου σοφὸς τό τε πάλαι τό τε νῦν·
οὐδὲ γὰρ ῥᾷστον ἀῤῥήτων ἐπέων πύλας
ἐξευρεῖν.

ΠΡΟΣΟΔΙΑ.

19. [18.]

–́ ⏑ – ⏑⏑́ ⏑ – ⏑ ⏒ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓
⏒ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ –
⏑⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓
⏑⏑́ ⏑ – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓
⏑ ⏑⏑́ –́ ⏑ –
⏑⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓

Εἷς ὅρος, μία βροτοῖσιν ἐστὶν εὐτυχίας ὁδός,
θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται
διατελεῖν βίον· ὃς δὲ μυρία μὲν ἀμφιπολεῖ φρενί,
τὸ δὲ παρ' ἆμάρ τε καὶ νύκτα μελλόντων χάριν
ἑὸν ἰάπτεται
κέαρ, ἄκαρπον ἔχει πόνον.

20. [18.]

Τί γὰρ ἐλαφρὸν ἔτ' ἐστὶν ἄπρακτ' ὀδυρόμενον δονεῖ
καρδίαν;

21. [19.]

– –́ ⏑ – –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –

Πάντεσσι θνατοῖσι δαίμων ἐπέταξε πόνους ἄλλοισιν ἄ

ΥΠΟΡΧΗΜΑΤΑ.

22. [20.]

–́ ⏑ – – –́ ⏑ – –́ ⏑ – –́ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ – –
⏑ –́ –́ ⏑ . . .

Λυδία μὲν γὰρ λίθος μανύει χρυσόν,
ἀνδρῶν δ' ἀρετὰν σοφία τε παγκρατής τ' ἐλέγχει
ἀλάθεια.

23. [21.]

´– ⏑ – ´– ⏑ – ´– ⏑ – ´– ⏑ – ´– ⏑ ⏔ ´– ⏑ –
´– ⏑ – ´– ⏑ – ´– ⏑ – ´– ⏑ – ´– ⏑ – –

Οὐχ ἕδρας ἔργον οὐδ' ἀμβολᾶς, αλλὰ χρυσαιγίδος Ἰτωνίας
χρὴ παρ' εὐδαίδαλον ναὸν ἐλθόντας ἁβρόν τι δεῖξαι.

ΕΡΩΤΙΚΑ.

24. [23.]

. . – ⏑ ´– ⏑ – ⏑ ´– ⏑ – ⏑ ´– ⏑ – ⏑ ´– ⏑ –
´– ⏑ – – ´– ⏑ – ⏑

. . *Εὖτε τὴν ἀπ' ἀγκύλης ἵησι τοῖςδε τοῖς νεανίαις,*
λευκὸν ἀντείνασα πῆχυν.

* 25. [24.]

´– ⏑ – ⏑ ´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ –

Ἠ καλὸς Θεόκριτος· οὐ μόνος ἀνθρώπων ἐρᾷς.

* 26. [25.]

⏑ ´– ⏑ ´– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ´– ⏑ – ⏑ – –

Σὺ δ' ἐν χιτῶνι μόνῳ παρὰ τὴν φίλην γυναῖκα φεύγεις.

* 27. [26.]

– ´– ⏑ ⏑ – ⏑ ⏑ – ⏓́ ´– ⏑ – –
´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ – ⏓
´– ⏑ ⏑ – ⏑ ⏑ – ⏓́ ´– ⏑ – ⏓
´– ⏑ – – ´– ⏑ – – ´– ⏑ ⏓

Γλυκεῖ' ἀνάγκα — *στρ. α'.*
σευομένα κυλίκων θάλπησι θυμόν,
Κύπριδος δ' ἐλπὶς διαιθύσσει φρένας

ἀμμιγνυμένα Διονυσίοισι δώροις, — *στρ. β'.*
ἀνδράσι δ' ὑψοτάτω πέμπει μερίμνας·
αὐτίκ' ὁ μὲν πόλεων κρήδεμνα λύει,
πᾶσι δ' ἀνθρώποις μοναρχήσειν δοκεῖ.

χρυσῷ δ' ἐλέφαντί τε μαρμαίροισιν οἶκοι,
πυροφόροι δὲ κατ' αἰγλήεντα (καρπόν)
νῆες ἄγουσιν ἀπ' Αἰγύπτου, μέγιστον
πλοῦτον· ὣς πίνοντος ὁρμαίνει κέαρ.

ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

28. [27.]

–́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏓

Οὐ βοῶν πάρεστι σώματ', οὔτε χρυσός, οὔτε ποι
τάπητες, ἀλλὰ θυμὸς εὐ
Μοῦσά τε γλυκεῖα καὶ Βοιωτίοισιν ἐν σκύφοισιν οἶν

* 29. [30.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓

Ὦ Τρῶες ἀρηΐφιλοι, Ζεὺς ὑψιμέδων, ὃς ἅπαντα δέ
οὐκ αἴτιος θνατοῖς μεγάλων ἀχέων· ἀλλ' ἐν μέσῳ
κιχεῖν
πᾶσιν ἀνθρώποισι Δίκαν, ὁσίαν, ἁγνάν
Εὐνομίας ἀκόλουθον καὶ πινυτᾶς Θέμιδος·
ὀλβίων παῖδές νιν εὑρόντες σύνοικον.

30. [4.]

. . . . . – –́ ⏓
x
– – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –

Φάσωμεν
πιστὸν κῦδος ἔχειν ἀρετάν· πλοῦτος δὲ καὶ δι
ἀνθρώπων ὁμιλεῖ.

31. [22.]

´– ⏑ – ´– ⏑ – ´– ⏑ – ´– ⏑ – ´– ⏑ ⏓

Ὦ Περίκλειτε, τἄλλ᾽ ἀγνοήσειν μὲν οὔ σ᾽ ἔλπομαι.

33. [32.]

– ´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ –
´– ⏑ ⏑ – ⏑ ⏑ – ´– ⏑ – – ´– ⏑ – – ´– ⏑ – –
´– ⏑ . .

Ἔστα δ᾽ ἐπὶ λάϊνον οὐδόν, τοὶ δὲ θοίνας ἔντυον, ὧδέ τ᾽ ἔφα·
Αὐτόματοι δ᾽ ἀγαθῶν δαῖτας εὐόχθους ἐπέρχονται δίκαιοι φῶτες.

34. [33.]

´– ⏑ – ´– ⏑ ⏑ – ⏑ ⏑ – ´– –
´– ⏑ – (⏑ ´–) ⏑ – –
´– ⏑ – – ´– ⏑ ⏑ – . . .

Οἱ μὲν ἀδμᾶτες ἀεικελιᾶν νούσων
εἰσὶ καὶ (κακῶν) ἄνατοι,
οὐδὲν ἀνθρώποις ἴκελοι.

35. [35.]

. . . – ⏑ ⏑ – ⏑ ´– ⏑ –
⏑ ´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ –

Οὐ γὰρ ὑπόκλοπον φορεῖ
βροτοῖσι φωνάεντα λόγον σοφία.

36. [36.]

. . – ´– ⏑ – – ´– ⏑ –
– ´– ⏑ – ⏑ ´– ⏑ – – ´– ⏑ – – ´– ⏑ ⏓
´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ – –
´– ⏑ – – ´– ⏑ – ⏑

Θνατοῖσι δ᾽ οὐκ αὐθαίρετοι
οὔτ᾽ ὄλβος οὔτ᾽ ἄκαμπτος Ἄρης οὔτε πάμφθερσις στάσις,
ἀλλ᾽ ἐπιχρίμπτει νέφος ἄλλοτ᾽ ἐπ᾽ ἄλλαν
γαῖαν ἁ πάνδωρος αἶσα.

37. [37.]

. . – ⏑ ⏑ – ⏑ – ⏒ ⏑ – ⏑ ⏑ – ⏓

Εἰ δὲ λέγει τις ἄλλως, πλατεῖα κέλευθος.

38. [38.]

⏑ – – ⏑ – – ⏑ – ⏑ ⏖ – ⏑ –

Μελαγκευθὲς εἴδωλον ἀνδρὸς Ἰθακησίου.

39. [39.]

– ⏑ – – – ⏑ – – – ⏑ ⏑ – ⏑ ⏑ – ⏓

Τὰν ἀχείμαντόν τε Μέμφιν καὶ δονακώδεα Νεῖλ

40. [40.]

. . . ⏑ ⏑ – – ⏖ ⏑ – ⏓

⏖ ⏑ – – ⏑ ⏑ –

Ἑκάτα δᾳδοφόρε Νυκτὸς
μελανοκόλπου θύγατερ.

41. [15.]

⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏓

– ⏑ – ⏑ – ⏑ ⏑ – ⏖ ⏑ – ⏓

Ποσιδάνιον ὡς Μαντινέες τριόδοντα
χαλκοδαιδάλοισιν ἐν ἀσπίσι φορεῦντες.

42. [42.]

. . . ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏓

Ἁβρότητι ξυνέασιν Ἴωνες βασιλῆες.

43. [43.]

– – ⏑ – – – ⏑ – ⏑ – ⏑ ⏑ ⏓

Χρυσὸν βροτῶν γνώμαισι μανύει καθαρόν.

44. [60.]

– ´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ –
´– ⏑ –

Ὀργαὶ μὲν ἀνθρώπων διακεκριμέναι
μυρίαι.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

48. [28.]

Κούρα Πάλλαντος πολυώνυμε, πότνια Νίκα,
  πρόφρων Κραναΐδῶν ἱμερόεντα χορόν
αἰὲν ἐποπτεύοις, πολέας δ' ἐν ἀθύρμασι Μουσᾶν
  Κηΐῳ ἀμφιτίθει Βακχυλίδῃ στεφάνους.

49. [29.]

Εὔδημος τὸν νηὸν ἐπ' ἀγροῦ τόνδ' ἀνέθηκεν
  τῷ πάντων ἀνέμων πιοτάτῳ Ζεφύρῳ,
εὐξαμένῳ γάρ οἱ ἦλθε βοαθόος, ὄφρα τάχιστα
  λικμήσῃ πεπόνων καρπὸν ἀπ' ἀσταχύων.

XXXVII.

MELANIPPIDES.

ΔΑΝΑΙΔΕΣ.

1.

´– ⏑ – – ´– ⏑ – – ´– ⏑ – ⏑̱
´– ⏑ – – ´– ⏑ – – ´– ⏑ ⏑̱
´– ⏑ – ⏑ ´– ⏑ – – ´– ⏑ – – ´– ⏑ – ⏑ ´– ⏑ ⏑̱
´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ –
´⏑⏑ ⏑ – – ´⏑⏑ ⏑ – – ´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ – –
´⏑⏑ ⏑ ⏑⏑ – ´– ⏑ ⏑̱

οὓς κρυφίοις Ἀφροδίτας ἄρκυσιν θηρεύομεν,
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις ἢ πόνων ἀμπνο
πέφανται,
μετὰ σεῖο, μάκαιρ' Ὑγίεια,
τέθαλε πάντα καὶ λάμπει Χαρίτων ἔαρι,
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων (ἔφυ.)

XL.

L I C Y M N I U S.

1.

–́ ∪ ∪ – –́ ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ –

Μυριαις παγαῖς δακρύων Ἀχέρων ἀχέων τε βρύει.

2.

. . . ∪ ∪ – ∪ ∪ ⏓
∪ –́ ∪ – – –́ . . .

. . . *Ἀχέρων ἄχεα*
βροτοῖσι πορθμεύει. . . .

3.

– –́ ∪ – – –́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ –
– –́ ∪ – –́ ∪ – ⏓

Ὕπνος δὲ χαίρων ὀμμάτων αὐγαῖς ἀναπεπταμένοις
ὄσσοις ἐκοίμιζε κοῦρον.

4.

. . ∪ ∪ – ∪ ∪ – ∪ – – –́ ∪ –
– –́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – –
–́ ∪ ∪ – ∪ ∪ – ⏓

* * *

–́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ –
– –́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – –
⏓ –́ ∪ – ⏓ –́ ∪ – – –́ ∪ –

Λιπαρόμματε μᾶτερ, ὑψίστων θρόνων
σεμνῶν Ἀπόλλωνος βασίλεια ποθεινά,
πραΰγελως Ὑγίεια.

* * *

Τίς γὰρ ἢ πλούτου χάρις ἢ τεκέων,
ἢ τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς;
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων ἔφυ.

XLI.

PHILOXENUS.

ΔΕΙΠΝΟΝ.

1.

. . . ∪ ∪ – –
–́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – ⏓ ⏓ ∪ –́ ∪ ∪ – ⏓
–́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – – ⏓ ∪ –́ ∪ ∪ – ⏓

. . . . *Κατὰ χειρὸς δ'*
ἤλυθ' ὕδωρ· ἁπαλὸς παιδίσκος ἐν ἀργυρέᾳ πρόχῳ φέρων ἐπέχευεν·
εἶτ' ἔφερε στέφανον λεπτᾶς ἀπὸ μυρτίδος εὐγνήτων κλάδων διςύναπτον.

2.

Εἰς δ' ἔφερον διπλόοι παῖδες λιπαρῶπα τράπεζαν
ἄμμ', ἕτεροι δ' ἑτέραν, ἄλλοι δ' ἑτέραν μέχρι οὗ πλήρωσαν οἶκον·
ταὶ δὲ πρὸς ὑψιλύχνους ἔστιλβον αὐγὰς
εὐστεφάνοις λακάναις παροψίσι τ' ὀξυβάφων πλήρεις σύν τε χλιδόωσαι
παντοδαποῖσι τέχνας εὑρήμασι πρὸς βιοτάν, ψυχᾶς δελεασματίοισιν.
* * * *πάρφερον ἐν κανέοις μάζας χιονόχροας, ἄλλοι δ'* * *
(τοῖς δ') ἔπι πρῶτα παρῆλθ' οὐ κάκκαβος, ὦ φιλότας, ἀλλ' ἀλλοπλατεῖς τὸ μέγιστον

Οὐ γαρ ἀνθρώπων φόρευν μορφὰν ἐνεῖδος,
οὐ δίαιταν τὰν γυναικείαν ἔχον,
ἀλλ' ἐν ἁρμάτεσσι διφρούχοις ἐγυμνάζοντ' ἀν' εὔδι' ἄλσι
πολλάκις θήραις φρένα τερπόμεναι,
ἱερόδακρυν λίβανον εὐώδεις τε φοίνικας κασίαν τε πατεῦσι
τέρενα Σύρια σπέρματα.

ΜΑΡΣΥΑΣ.

2.

. . . . –́ ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒

. . . . Ἁ μὲν Ἀθάνα
ὄργαν' ἔῤῥιψέν θ' ἱερᾶς ἀπὸ χειρός,
εἶπέ τ'· Ἔῤῥετ' αἴσχεα, σώματι λύμα,
οὔ με τᾷδ' ἐγὼ κακότατι δίδωμι.

ΠΕΡΣΕΦΟΝΗ.

3.

⏑ –́ –́ – – –́ ⏑ – –
⏑ ⏑⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ –

Καλεῖται δ' ἐν κόλποισι γαίας
ἄχεα βροτοῖσιν προχέων Ἀχέρων.

4.

– –́ ⏑ – ⏑ ⏑⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏒
–́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – –

Πάντες δ' ἀπεστύγεον ὕδωρ,
τὸ πρὶν ἐόντες ἀΐδριες οἴνου,
τάχα δὴ τάχα τοὶ μὲν ἀπ' ὤν ὄλοντο,
τοὶ δὲ παράπληκτον χέον ὀμφάν.

Λιπαρόμματε μᾶτερ, ὑψίστων θρόνων
σεμνῶν Ἀπόλλωνος βασίλεια ποθεινά,
πραΰγελως Ὑγίεια.

* * *

Τίς γὰρ ἢ πλούτου χάρις ἢ τεκέων,
ἢ τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς;
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων ἔφυ.

XLI.

PHILOXENUS.

ΔΕΙΠΝΟΝ.

1.

. . . ∪ ∪ – –
–́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – – ∪̄ ∪ –́ ∪ ∪ – –̆
–́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – – – ∪ –́ ∪ ∪̄ – –̆

. . . . *Κατὰ χειρὸς δ'*
ἤλυθ' ὕδωρ· ἁπαλὸς παιδίσκος ἐν ἀργυρέᾳ πρόχῳ φέρων ἐπέχευεν·
εἶτ' ἔφερε στέφανον λεπτᾶς ἀπὸ μυρτίδος εὐγνήτων κλάδων δισύναπτον.

2.

Εἰς δ' ἔφερον διπλόοι παῖδες λιπαρῶπα τράπεζαν
ἄμμ', ἕτεροι δ' ἑτέραν, ἄλλοι δ' ἑτέραν μέχρι οὗ πλήρωσαν οἶκον·
ταὶ δὲ πρὸς ὑψιλύχνους ἔστιλβον αὐγάς
εὐστεφάνοις λακάναις παροψίσι τ' ὀξυβάφων πλήρεις σύν τε χλιδόωσαι
παντοδαποῖσι τέχνας εὑρήμασι πρὸς βιοτάν, ψυχᾶς δελεασματίοισιν.
* * * *πάρφερον ἐν κανέοις μάζας χιονόχροας, ἄλλοι δ'* * *
(τοῖς δ') ἔπι πρῶτα παρῆλθ' οὐ κάκκαβος, ὦ φιλότας, ἀλλ' ἀλλοπλατεῖς τὸ μέγιστον

οὓς κρυφίοις Ἀφροδίτας ἄρκυσιν θηρεύομεν,
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις ἢ πόνων ἀμπνὶ
πέφανται,
μετὰ σεῖο, μάκαιρ' Ὑγίεια,
τέθαλε πάντα καὶ λάμπει Χαρίτων ἔαρι,
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων (ἔφυ.)

XL.

L I C Y M N I U S.

1.

–́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ –
Μυριαις παγαῖς δακρύων Ἀχέρων ἀχέων τε βρύει.

2.

. . . ∪ ∪ – ∪ ∪ ⏓
∪ –́ ∪ – – –́ . . .

. . . Ἀχέρων ἄχεα
βροτοῖσι πορθμεύει. . . .

3.

– –́ ∪ – – –́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ –
– –́ ∪ – –́ ∪ – ⏓

Ὕπνος δὲ χαίρων ὀμμάτων αὐγαῖς ἀναπεπταμένοις
ὄσσοις ἐκοίμιζε κοῦρον.

4.

. . ∪ ∪ – ∪ ∪ – ∪ – – –́ ∪ –
– –́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – –
–́ ∪ ∪ – ∪ ∪ – ⏓

* * *

–́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ –
– –́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – –
⏓ –́ ∪ – ⏓ –́ ∪ – – –́ ∪ –

Λιπαρόμματε μᾶτερ, ὑψίστων θρόνων
σεμνῶν Ἀπόλλωνος βασίλεια ποθεινά,
πραΰγελως Ὑγίεια.

* * *

Τίς γὰρ ἢ πλούτου χάρις ἢ τεκέων,
ἢ τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς;
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων ἔφυ.

XLI.

PHILOXENUS.

ΔΕΙΠΝΟΝ.

1.

. . . ∪ ∪ – –
–́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – ⏓ x ∪ –́ ∪ ∪ – ⏓
–́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – – x ∪ –́ ∪ ⏑ – ⏓

. . . . Κατὰ χειρὸς δ'
ἤλυθ' ὕδωρ· ἁπαλὸς παιδίσκος ἐν ἀργυρέᾳ πρόχῳ φέρων ἐπέχευεν·
εἶτ' ἔφερε στέφανον λεπτᾶς ἀπὸ μυρτίδος εὐγνήτων κλάδων δισύναπτον.

2.

Εἰς δ' ἔφερον διπλόοι παῖδες λιπαρῶπα τράπεζαν
ἄμμ', ἕτεροι δ' ἑτέραν, ἄλλοι δ' ἑτέραν μέχρι οὗ πλήρωσαν οἶκον·
καὶ δὲ πρὸς ὑψιλύχνους ἔστιλβον αὐγάς
εὐστεφάνοις λακάναις παροψίσι τ' ὀξυβάφων πλήρεις σύν τε χλιδόωσαι
παντοδαποῖσι τέχνας εὑρήμασι πρὸς βιοτάν, ψυχᾶς δελεασματίοισιν.
* * πάρφερον ἐν κανέοις μάζας χιονόχροας, ἄλλοι δ' * *
(τοῖς δ') ἔπι πρῶτα παρῆλθ' οὐ κάκκαβος, ὦ φιλότας, ἀλλ' ἀλλοπλατεῖς τὸ μέγιστον

σασαμορυτοπαγῆ δὲ καὶ ζεσελαιοπαγῆ πλακύνετο σασαμόπαστα
πέμματα, κἆτ' ἐρέβινθοι κνακοσυμμιγεῖς ἁπαλαῖς θάλλοντες ὥραις,
ᾠά τ', ἀμυγδαλίδες τε τῶν μαλακοφλοΐδων ... τε τρωκτά τε παισὶν
ἀδυΐδη κάρυ', ἄλλα τ' ὅσσα πρέπει παρὰ θοίναν
ὀλβιόπλουτον (ἔμεν)· πόσις τ' ἐπεραίνετο κότταβοί τε λόγοι τ' ἐπὶ κοινᾶς·
ἔνθα τι καινὸν ἐλέχθη κομψὸν ἀθυρμάτιον καί
θαύμασαν αὔτ' ἐπί τ' ᾔνησαν. * *

4.

* * Σὺ δὲ τάνδε Βακχίου
εὔδροσον πλήρη μετανιπτρίδα δέξαι·
πραΰ τί τοι Βρόμιος γάνος τόδε δοὺς ἐπὶ τέρψιν
πάντας ἄγει. * *

5.

Ἔπινε τὸ νεκτάρεον πόμ' ἐν χρυσαῖς προτομαῖς τε
κεράτων· ἔβρεχον δὲ κατὰ μικρόν.

* 6.

–́ ∪ – – ῶ ∪ – – –́ ∪ – ∪̲

Συμβαλοῦμαί τι μέλος ὑμῖν εἰς ἔρωτα.

8.

– –́ ∪ ∪ – ∪̲
–́ ∪ ∪́ – ∪ ῶ ∪ – ∪̲
ῶ ∪ – ∪ –́ ∪ ∪ – –

Ὦ καλλιπρόσωπε
χρυσεοβόστρυχε Γαλάτεια,
χαριτόφωνε, κάλλος ἐρώτων.

9.

– –́ ∪ – – ῶ ∪ – ∪ – ∪̲

Οἴῳ μ' ὁ δαίμων τέρατι συγκαθεῖρξεν.

10.

. . . . ⏑ ⏒ ⏑ – ⏑ – –

. . . . Ἔθυσας; ἀντιθύσῃ.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

* 14.

Αὐτοὶ γὰρ διὰ Παρνασσοῦ . . . .
χρυσορόφων Νυμφέων εἴσω (ἴσαν) θαλάμων.

15.

Τληπόλεμος ὁ Μυρεὺς Ἑρμᾶν ἀφετήριον ἕρμα
ἱροδρόμοις θῆκεν παῖς ὁ Πολυκρίτεω,
δὶς δέκ' ἀπὸ σταδίων ἐναγώνιον· ἀλλὰ πονεῖτε
μαλθακὸν ἐκ γονάτων ὄκνον ἀπωσάμενοι.

XLII.

T I M O T H E U S.

ΕΙΣ ΑΡΤΕΜΙΝ.

1.

⏒ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑

Μαινάδα, θυιάδα, φοιβάδα, λυσσάδα.

* 2.

⏑ ⏑ ⏒ ⏑ ⏑ – ⏑ ⏑ ⏒ –
⏑ ⏑ ⏒ ⏑ ⏑ – ⏑ ⏑ ⏒ –

Διὰ κυάνεον πόλον ἄστρων,
διά τ' ὠκυτόκοιο σελάνας.

ΚΥΚΛΩΨ.

3.

x – ⏒ ⏑ ⏑ – ⏑ – ⏓
⏒ ⏑ ⏑ – ⏑ ⏑ – –

Οὔ τοι τόν γ' ὑπεραμπέχοντα
οὐρανὸν εἰσαναβήσει.

XLV.

LYCOPHRONIDES.

1.

–́ ∪ – ⏓́ –́ ∪ ∪ – ∪ – ∪ –
– –́ ∪ ∪ – –́ ∪ ∪ – –́ ∪ ∪ – –
∪ –́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ – ∪ – –
–́ ∪ – – –́ ∪ ∪ – –́ –

Οὔτε παιδὸς ἄῤῥενος οὔτε παρθένων
τῶν χρυσοφόρων οὔτε γυναικῶν βαθυκόλπων
καλὸν τὸ πρόςωπον, ἐὰν μὴ κόσμιον πεφύκῃ.
ἡ γὰρ αἰδὼς ἄνθος ἐπισπείρει.

2.

∪ ⏖́ ∪ – ∪ –́ ∪ ⏓
∪ ⏖́ ∪ – ∪ –́ ∪ – ∪ –́ ∪ ∪ –
x – –́ ∪ ∪ – –́ ∪ ∪ – –́ ∪ ∪ – –
∪ ∪ –́ ⏖́ ∪ ∪ – –́ ∪ – ∪ –

Τόδ᾽ ἀνατίθημί σοι ῥόδον
καλὸν ἀνάθημα καὶ πέδιλα καὶ κυνέαν
καὶ τὰν θηροφόνον λογχίδ᾽, ἐπεί μοι νόος ἄλλᾳ
ἐπὶ τὰν Χάρισι φίλαν παῖδα καὶ καλάν.

Μακάριος ἦσθα, Τιμόθεε, κᾶρυξ ὅτ' εἶπε· νικᾷ
Τιμόθεος ὁ Μιλήσιος τὸν
Κάμωνος τὸν ἰωνοκάμπταν.

10.

–́ ∪ – –́ ∪ ∪ – ⏓
⏒́ ∪ –́ ∪ ∪ – –
∪ ∪ –́ – ∪ ∪ –́ –
∪ ∪ –́ – ∪ ∪ –́ –
∪ ∪ –́ – ∪ ∪ –́ –

Οὐκ ἀείδω τὰ παλαιά,
καινὰ γὰρ μάλα κρείσσω·
νέος ὁ Ζεὺς βασιλεύει,
τὸ πάλαι δ' ἦν Κρόνος ἄρχων·
ἀπίτω Μοῦσα παλαιά.

11.

∪ –́ ∪ ∪ – ∪ ∪ – ∪ ∪ ⏓
– –́ ∪ – – –́ ∪ ∪ – –
–́ ∪ ∪ – ∪ ∪ – –́ ∪ ⏓
–́ ∪ ∪ – – –́ ∪ ∪ – –

Σύ τ' ὦ τὸν ἀεὶ πόλον οὐράνιον
ἀκτῖσι λαμπραῖς Ἅλιε βάλλων,
πέμψον ἑκαβόλον ἐχθροῖς βέλος
σᾶς ἀπὸ νευρᾶς, ὦ ἰὲ Παιάν.

* 12.

∪ ∪ –́ – ∪ ∪ –́ – ∪ ∪ –́ –

Σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰνεῖς.

13.

Οὔθ' ὁ πτερωτὸς ἰξὸς ὀμμάτων, Ἔρως,
ὁ Κύπριος κυναγός, ἡ φρενῶν ἄκις
ὁ μὴ τίνων θεοῖσιν ὁρκίων δίκας.

XLIII.

TELESTES.

ΑΡΓΩ.

1.

–́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – –
⏑ –́ –́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏓
–́ ⏑ – ⏑ –́ ⏑ –
– –́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ –́ ⏑ ⏓
⏑ –́ ⏑ – –́ ⏑ – ⏑ –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ – ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –
– ⏑́⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ – –

Ὃν σοφὸν σοφὰν λαβοῦσαν οὐκ ἐπέλπομαι νόῳ
δρυμοῖς ὀρείοις ὄργανον
δῖαν Ἀθάναν,
δυςόφθαλμον αἶσχος ἐκφοβηθεῖσαν,
αὖθις ἐκ χερῶν βαλεῖν,
νυμφαγενεῖ χοροκτύπῳ φηρὶ Μαρσύᾳ κλέος.
τί γάρ νιν εὐηράτοιο κάλλεος
ὀξὺς ἔρως ἔτειρεν,
ᾇ παρθενίαν ἄγαμον καὶ ἄπαιδ᾽ ἀπένειμε Κλωθώ;
ἀλλὰ μάταν ἀχόρευτος
ἅδε ματαιολόγων φάμα προςέπταθ᾽ Ἑλλάδα μουσοπ…
σοφᾶς ἐπίφθονον βροτοῖς τέχνας ὄνειδος,
τὰν οὐ μεριθατάταν Βρομίῳ παρέδωκε σεμνᾶς
δαίμονος ἀερθὲν πνεῦμ᾽ αἰολοπτερύγων σὺν ἀγλαᾶν ὠ-
τατι χειρῶν.

Versus hoc ordine legendi sunt:

Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς κρατερᾶς μηδοσύνας ἦρα τίνων Ἀθάνᾳ
ὤπασ' Ἐπειὸς πέλεκυν, τῷ ποτε πύργων θεοτεύκτων κατέρειψεν αἶπος,
τῆμος ἐπεὶ τὰν ἱερὰν κηρὶ πυρίπνῳ πόλιν ᾐθάλωσεν
Δαρδανιδᾶν, χρυσοβαφεῖς τ' ἐδτυφέλιξ' ἐκ θεμέθλων ἄνακτας,
οὐκ ἐνάριθμος γεγαὼς ἐν προμάχοις Ἀχαιῶν,
ἀλλ' ἀπὸ κρηνᾶν ἰθαρᾶν νᾶμα κόμιζε δυσκλής·
νῦν δ' ἐς Ὁμήρειον ἔβα κέλευθον,
σὰν χάριν, ἁγνὰ πολύβουλε Παλλάς·
τρὶς μάκαρ, ὃν σὺ θυμῷ
ἵλαος ἀμφιδερχθῇς·
ὅδ' ὄλβος
ἀεὶ πνεῖ.

XLVIII

S I M M I A S.

1.

Ο ΠΕΛΕΚΥΣ.

Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς κρατερᾶς μηδοσύνας ἦρα τίνων Ἀθάνᾳ
τᾶμος ἐπεὶ τὰν ἱερὰν κηρὶ πυρίπνῳ πόλιν ἠθάλωσεν
οὐκ ἐνάριθμος γεγαὼς ἐν προμάχοις Ἀχαιῶν
νῦν δ' ἐς Ὁμήρειον ἔβα κέλευθον
τρὶς μάκαρ ὃν σὺ θυμῷ
ὅδ' ὄλβος

ἀεὶ πνεῖ
ἵλαος ἀμφιδερχθῇς
σαν χάριν ἁγνὰ πολύβουλε Παλλάς
ἀλλ' ἀπὸ κρηνᾶν ἰθαρᾶν νᾶμα κόμιζε δυςκλής
Δαρδανιδᾶν χρυσοβαφῆ τ' ἐστυφέλιξ' ἐκ θεμέθλων ἄνακτας
ὤπασ' Ἐπειὸς πέλεκυν τῷ ποτε πύργων θεοτεύκτων κατέρειψεν αἶπος.

Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς κρατερᾶς μηδοσύνας ἦρα τίνων Ἀθάνᾳ
ὤπασ' Ἐπειὸς πέλεκυν, τῷ ποτε πύργων θεοτεύκτων κατέρειψεν αἶπος,
τῆμος ἐπεὶ τὰν ἱερὰν κηρὶ πυρίπνῳ πόλιν ἠθάλωσεν
Δαρδανιδᾶν, χρυσοβαφεῖς τ' ἐδυφέλιξ' ἐκ θεμέθλων ἄνακτας,
οὐκ ἐνάριθμος γεγαὼς ἐν προμάχοις Ἀχαιῶν,
ἀλλ' ἀπὸ κρηνᾶν ἰθαρᾶν νᾶμα κόμιζε δυσκλής·
νῦν δ' ἐς Ὁμήρειον ἔβα κέλευθον,
σὰν χάριν, ἁγνὰ πολύβουλε Παλλάς·
τρὶς μάκαρ, ὃν σὺ θυμῷ
ἵλαος ἀμφιδερχθῇς·
ὅδ' ὄλβος
ἀεὶ πνεῖ.

ΩιΟΝ ΧΕΛΙΔΟΝΟΣ.

2.

Κωτίλας
ματέρος
τῇ τόδ' ᾠὸν νέον
πρόφρων δὲ θυμῷ δέξο δὴ γὰρ ἁγνά
τὸ μὲν θεῶν ἐριβόας Ἑρμᾶς ἔδειξε κᾶρυξ
ἄνωγε δ' ἐκ μέτρου μονοβάμονος μέγαν πάροιθ' ἀέξειν
θοῶς δ' ὕπερθεν ὠκὺ λέχριον φέρων νεῦμα ποδῶν (σποράδων) πίφαυσκεν
θοαῖσι δ' αἰόλαις νεβροῖς κῶλ' ἀλλάσσων ὀρσιπόδων ἐλάφων τέκεσσιν
παλιγκραίπνοις ὑπὲρ ἄκρων ἱέμεναι ποσὶ λόφων κατ' ἀρθμίας ἴχνος τιθήνας
καί τις ὠμόθυμος ἀμφίπαλτον αἶψ' αὐδὰν θὴρ ἐν κόλπῳ δεξάμενος θαλάμων πουκωτάτων
καὶ τάδ' ὦκα βοᾶς ἀκοὰν μεθέπων ἄφαρ ὅγε λάσιον νιφοβόλων ἀν' ὀρέων ἔσσυται ἄγκος
ταῖς δὴ δαίμων κλυταῖς ἶσα θεοῖς ποσὶ δονέων πολύπλοκα μεθίει μέτρα μολπαῖς
ῥίμφα πετρόκοιτον· ἐκλιπὼν ὄρουσ' εὐνὰν ματρὸς πλαγκτὸν μαιόμενος βαλίας ἑλεῖν τέκος
βλαχαὶ δ' οἴων πολυβότων ἀν' ὀρέων νομὸν ἔβαν τανυσφύρων τ' ἀν' ἄντρα Νυμφῶν
ταὶ δ' ἀμβρότῳ πόθῳ φίλας ματρὸς ῥώοντ' αἶψα μεθ' ἱμερόεντα μαζόν
ἴχνει θένων τὰν παναίολον Πιερίδων μονόδουπον αὐδάν
ἀριθμὸν εἰς ἄκραν δεκάδ' ἰχνίων κόσμον νέμοντα ῥυθμῶν
φῦλ' ἐς βροτῶν ὑπὸ φίλας ἑλὼν πτεροῖσι ματρός
λίγειά μιν κάμ' ἀμφὶ ματρὸς ὠδίς
ἁγνᾶς ἀηδόνος
Δωρίας

4.

Μᾶτερ ὦ πότνια, κλῦθι, Νυμφᾶν ἁβρᾶν
Δῶρι, κυμοκτύπων ἦραν' ἁλίων μυχῶν.

5.

Σοὶ μὲν εὔιππος εὔπωλος ἐγχέσπαλος
δῶκεν αἰχμὰν Ἐνυάλιος εὔσκοπον ἔχειν.

6.

Σέ ποτε Διὸς ἀνὰ πύματα νεαρὲ κορὲ νεβροχίτων.

7.

Χαῖρε ἄναξ ἕταρε, ζαθέας μάκαρ ἥβας.

XLIX.

D O S I A D E S.

1.

Β Ω Μ Ο Σ.

Εἱμάρσενος με στήτας
πόσις μέροψ, δίσαβος
τεῦξ', οὐ σποδεύνας, ἶνις Ἐμπούσας, μόρος
Τεύκροιο βούτα καὶ κυνὸς τεχνώματος,
Χρύσας ἀΐτας· ἆμος ἕψανδρα
τὸν γυιόχαλκον οὖρον ἔρραισεν,
ὃν ἀπάτωρ δίζευνος
μόρησε ματρόριπτος.
ἐμὸν δὲ τεῦγμ' ἀθρήσας
Θεοκρίτοιο κτάντας,
τριεσπέροιο καύστας
θῶϋξεν αἶν' αἴξας·
χάλεψε γάρ νιν ἰῷ
σύργαστρος ἐκδὺς γῆρας.
τὸν δ' ἀεὶ λινεῦντ' ἐν ἀμφικλύστῳ
Πανός τε ματρὸς εὐνέτας, φώρ
δίζωος, ἶνίς τ' ἀνδροβρῶτος ἰλιοραίστας
ἦρ' ἀρδίων ἐς Τευκρίδ' ἄγαγον τρίπορθον.

ΑΙ ΠΤΕΡΥΓΕΣ ΕΡΩΤΟΣ.

3.

Λεῦσσέ με τὸν Γᾶς τε βαθυστέρνου ἄνακτ' Ἀκμονίδαν τ' ἄλλυδις ἑδράσαντα,
μηδὲ τρέσῃς, εἰ τόσος ὢν δάσκια βέβριθα λάχνᾳ γένεια.
τᾶμος ἐγὼ γὰρ γενόμαν, ἀνίκ' ἔκριν' Ἀνάγκα,
πάντα δὲ Γᾶς εἶκε φραδαῖσι λυγραῖς
ἑρπετά, πάνθ' ὅσ' ἕρπει
δι' αἴθρας

χάους τε.
οὔτι γε Κύπριδος παῖς,
ὠκυπέτας δ' ἀέριος καλεῦμαι·
οὔτι γὰρ ἔκρινα βίᾳ, πραΰνόῳ δὲ πειθοῖ.
εἶκε δέ μοι Γαῖα, Θαλάσσας τε μυχοί, χάλκεος Οὐρανός τε·
τῶν δ' ἐγὼ ἐκνοσφισάμαν ὠγύγιον σκᾶπτρον, ἔκρινον δὲ θεοῖς θέμιστας.

L.

PHILISCUS.

1.

Τῇ χθονίῃ μυστικὰ Δήμητρί τε καὶ Περσεφόνῃ καὶ Κλυμένῳ τὰ δῶρα.

2.

Καινογραφοῦς συνθέσεως τῆς Φιλίκου, γραμματικοί, δῶρα φέρω πρὸς ὑμᾶς.

LI.

MELINNO.

ΕΙΣ ΡΩΜΗΝ.

Χαῖρέ μοι Ῥώμα, θυγάτηρ Ἄρηος,
χρυσεομίτρα δαΐφρων ἄνασσα,
σεμνὸν ἃ ναίεις ἐπὶ γᾶς Ὄλυμπον
αἰὲν ἄθραυστον.
σοὶ μόνᾳ πρέσβιστα δέδωκε Μοῖρα
κῦδος ἀῤῥήκτω βασίληον ἀρχᾶς,
ὄφρα κοιράνηον ἔχοισα κάρτος
ἁγεμονεύῃς.
σᾷ δ' ὑπὸ σδεύγλᾳ κρατερῶν λεπάδνων
στέρνα γαίας καὶ πολιᾶς θαλάσσας
σφίγγεται· σὺ δ' ἀσφαλέως κυβερνᾷς
ἄστεα λαῶν.
πάντα δὲ σφάλλων ὁ μέγιστος αἰών
καὶ μεταπλάσσων βίον ἄλλοτ' ἄλλως
σοὶ μόνᾳ πλησίστιον οὖρον ἀρχᾶς
οὐ μεταβάλλει.

(*ΔΩΣΙΑΔΑ.*)

2.

ΒΩΜΟΣ.

Ὀλὸς οὔ με λιβρὸς ἱρῶν
Λιβάδεσσιν, οἷα κάχλη,
Ὑποφοινίῃσι τέγγει·
Μαῦλιες δ' ὕπερθε πέτρης Ναξίας θοούμεναι
Παμάτων φίδοντο Πανός· οὐ στροβίλῳ λιγνΰϊ
Ἰξὸς εὐώδης μελαίνει τρεχνέων με Νυσίων.
Ἐς γὰρ βωμὸν ὁρῆς με μήτ' Ἀγούρου
Πλίνθοις μήτ' Ἀλύβης παγέντα βώλοις·
Οὐδ' ὃν Κυνθογενὴς ἔτευξε φύτλη
Λαβὼν τὰ μηκάδων κέρα,
Λισσαῖσιν ἀμφὶ δειράσιν
Ὅσσαι νέμονται Κυνθίαις,
Ἰσόρροπος πέλοιτό μοι.
Σὺν Οὐρανοῦ γὰρ ἐκγόνοις
Εἰνάς μ' ἔτευξε γηγενής·
Τάων δ' ἀείζωον τέχνην
Ἔνευσε πάλμυς ἀφθίτων.
Σὺ δ' ὦ πιὼν κρήνηθεν, ἣν
Ἶνις κόλαψε Γοργόνος,
Θύοις τ' ἐπισπένδοις τέ μοι
Ὑμηττιαδᾶν πολὺ λαροτέρην
Σπονδὴν ἄδδην· ἴθι δὴ θαρσέων
Ἐς ἐμὴν τεῦξιν· καθαρὸς γὰρ ἐγώ
Ἰὸν ἱέντων τεράων, οἷα κέκευθ' ἐκεῖνος
Ἀμφὶ Νέαις Θρηϊκίαις, ὃν σχεδόθεν Μυρίνης
Σοί, τριπάτωρ, πορφυρέον φῶρ ἀνέθηκε κριοῦ.

L.

PHILISCUS.

1.

Τῇ χθονίῃ μυστικὰ Δήμητρί τε καὶ Περσεφόνῃ καὶ Κλυμένῳ τὰ δῶρα.

2.

Καιναγραφοῦς συνθέσεως τῆς Φιλίκου, γραμματικοί, δῶρα φέρω πρὸς ὑμᾶς.

LI.

MELINNO.

ΕΙΣ ΡΩΜΗΝ.

Χαῖρέ μοι Ῥώμα, θυγάτηρ Ἄρηος,
χρυσεομίτρα δαΐφρων ἄνασσα,
σεμνὸν ἃ ναίεις ἐπὶ γᾶς Ὄλυμπον
αἰὲν ἄθραυστόν.
σοὶ μόνᾳ πρέσβιστα δέδωκε Μοῖρα
κῦδος ἀῤῥήκτω βασίληον ἀρχᾶς,
ὄφρα κοιράνηον ἔχοισα κάρτος
ἁγεμονεύῃς.
σᾷ δ' ὑπὸ σδεύγλᾳ κρατερῶν λεπάδνων
στέρνα γαίας καὶ πολιᾶς θαλάσσας
σφίγγεται· σὺ δ' ἀσφαλέως κυβερνᾷς
ἄστεα λαῶν.
πάντα δὲ σφάλλων ὁ μέγιστος αἰών
καὶ μεταπλάσσων βίον ἄλλοτ' ἄλλως
σοὶ μόνᾳ πλησίστιον οὖρον ἀρχᾶς
οὐ μεταβάλλει.

ἦ γὰρ ἐκ πάντων σὺ μόνα κρατίστως
ἄνδρας αἰχματὰς μεγάλως λοχεύεις,
εὔσταχυν Δάματρος ὅπως ἀνεῖσα
καρπὸν ἀπ' ἀνδρῶν.

LII.

THEOCLES.

ΙΘΥΦΑΛΛΟΙ.

Ἐθύσαμεν γὰρ σήμερον σωτήρια
πάντες οἱ τεχνῖται,
μεθ' ὧν πιὼν κέρας τόδ', ὡς τὸν φίλτατον
βασιλέα πάρειμι.

LIII.

SELEUCUS.

ΙΛΑΡΑ ΑιΣΜΑΤΑ.

Κἀγὼ παιδοφιλήσω· πολύ μοι κάλλιον ἢ γαμεῖν·
παῖς μὲν γὰρ παρεὼν κἠν πολέμῳ μᾶλλον ἐπωφελεῖ.

LIV.

EUPHORION CHERRONESITA.

ΠΡΙΑΠΕΙΑ.

1.

Οὐ βέβηλος, ὦ τελεταί, τοῦ νέου Διονύσου.

2.

Κἀγὼ δ' ἐξ εὐεργεσίης ὠργιασμένος ἥκω·
ὁδεύων Πηλουσιακὸν κνεφαῖος παρὰ τέλμα.

LV.

H E R A C L I D E S.

ΛΕΣΧΑΙ.

Δώσω σοι χρυσέους δέκα στατῆρας.

LVI.

D I O N Y S I U S.

1.

ΕΙΣ ΜΟΥΣΑΝ.

Ἄειδε Μοῦσά μοι φίλη,
μολπῆς δ' ἐμῆς κατάρχου·
αὔρη δὲ σῶν ἀπ' ἀλσέων
ἐμὰς φρένας δονείτω.

26

Καλλι'πεια σοφά,
Μουσῶν προκαθαγέτι τερπνῶν,
καὶ σοφὲ μυστοδότα,
Λατοῦς γόνε Δήλιε, Παιάν,
εὐμενεῖς πάρεστέ μοι.

(ΔΙΟΝΥΣΙΟΥ.)

2.

ΥΜΝΟΣ ΕΙΣ ΗΛΙΟΝ.

Εὐφαμείτω πᾶς αἰθήρ,
γῆ καὶ πόντος καὶ πνοιαί,
οὔρεα, τέμπεα σιγάτω,
ἦχοι φθόγγοι τ' ὀρνίθων·
μέλλει γὰρ πρὸς ἡμᾶς βαίνειν
Φοῖβος ἀκερσεκόμας εὐχαίτας.
Χιονοβλεφάρου πάτερ 'Αοῦς,
ῥοδόεσσαν ὃς ἄντυγα πώλων
πτανοῖς ὑπ' ἴχνεσσι διώκεις,
χρυσέαισιν ἀγαλλόμενος κόμαις,
περὶ νῶτον ἀπείριτον οὐρανοῦ
ἀκτῖνα πολύστροφον ἀμπλέκων,
αἴγλας πολυδερκέα παγάν
περὶ γαῖαν ἅπασαν ἑλίσσων,
σοὶ μὲν χορὸς εὔδιος ἀστέρων
κατ' Ὄλυμπον ἄνακτα χορεύει,
ἄνετον μέλος αἰὲν ἀείδων,
Φοιβηΐδι τερπόμενος λύρᾳ,
γλαυκὰ δὲ πάροιθε Σελάνα
χρόνον ὥριον ἁγεμονεύει
λευκῶν ὑπὸ σύρμασι μόσχων·
ποταμοὶ δὲ σέθεν πυρὸς ἀμβρότου
τίκτουσιν ἐπήρατον ἁμέραν,
γάνυται δέ τε σοι νόος εὐμενὴς
πολυείμονα κόσμον ἑλίσσων.

SCOLIA,

CARMINA POPULARIA,

FRAGMENTA ADESPOTA.

ἐξεχεῖτο παμφάγοισιν
φλοξὶν ἐκπυρούμενος.
θαῦμα δ' ἦν ἰδεῖν βροτοῖς
ὁλκὸν ἐκ πυρὸς ῥέοντα,
καὶ τὸν ἐργάτην τρέμοντα,
μὴ πεσὼν διαρραγῇ·
ἐς δὲ διπτύχων ἰκμάς
χειλέων ἔθηκε βῶλον.

3.

Ἕρπουσα, πετωμένα, βεβῶσα κούρα,
νόθον ἴχνος ἀραμένα δρομαία λέαινα,
πτερόεσσα μὲν ἦν τὰ πρόσω γυνά,
τὰ δὲ μέσσα, βρέμουσα λέαινα θήρ,
τὸ δ' ὄπισθεν, ἑλισσόμενος δράκων.
οὔθ' ὁλκὸς ἀπέτρεχεν, οὐ γυνά,
οὔτ' ὄρνις ὅλον δέμας, οὔτε θήρ·
κόρη γὰρ ἐφαίνετ' ἄνευ ποδῶν,
κεφαλὰν δ' οὐκ ἔσχε βρέμουσα θήρ·
φύσιν εἶχε ἄτακτα κεκραμέναν,
ἀτέλεστα τέλεια μεμιγμέναν.

SCOLIA,

CARMINA POPULARIA,

FRAGMENTA ADESPOTA.

S C O L I A.

1.

ΠΥΘΕΡΜΟΥ.

Οὐδὲν ἦν ἄρα τἄλλα πλὴν ὁ χρυσός.

2.

⏓ ⏒ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏓
⏓ ⏓ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏓
⏑ ⏑ –́ ⏑ – –́ ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓ (–́ ⏑ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓)

Παλλὰς Τριτογένει᾽, ἄνασσ᾽ Ἀθηνᾶ,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας
ἄτερ ἀλγέων καὶ στάσεων
καὶ θανάτων ἀώρων σύ τε καὶ πατήρ.

3.

Πλούτου μητέρ᾽, Ὀλυμπίαν ἀείδω
Δήμητρα στεφανηφόροις ἐν ὥραις,
σέ τε παῖ Διὸς Φερσεφόνη·
χαίρετον, εὖ δὲ τάνδ᾽ ἀμφέπετον πόλιν.

4.

Ἐν Δήλῳ ποτ᾽ ἔτικτε τέκνα Λατώ,
Φοῖβον χρυσοκόμαν, ἄνακτ᾽ Ἀπόλλω,
ἐλαφηβόλον τ᾽ ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ᾽ ἔχει κράτος.

5.

Ὦ Πάν, Ἀρκαδίας μεδέων κλεεννᾶς,
ὀρχηστά, Βρομίαις ὀπαδὲ Νύμφαις,
γελάσειας, ὦ Πάν, ἐπ᾽ ἐμαῖς
εὐφροσύναισι, ταῖσδ᾽ ἀοιδαῖς κεχαρημένος.

6.

Ἐνικήσαμεν, ὡς ἐβουλόμεσθα,
καὶ νίκην ἔδοσαν θεοὶ φέροντες
παρὰ Πανδρόσου, ὡς φίλην Ἀθηνᾶν.

7.

Εἴθ' ἐξῆν ὁποῖός τις ἦν ἕκαστος
τὸ στῆθος διελόντ', ἔπειτα τὸν νοῦν
ἐςιδόντα, κλείσαντα πάλιν,
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί.

8.

(*ΣΙΜΩΝΙΔΟΥ.*)

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

9.

(*ΚΑΛΛΙΣΤΡΑΤΟΥ.*)

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥςπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτε τὸν τύραννον κτανέτην,
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

10.

Φίλταθ' Ἁρμόδι', οὔ τί που τέθνηκας,
νήσοις δ' ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεύς,
Τυδεΐδην τέ φασιν ἐσθλὸν Διομήδεα.

11.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥςπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτ' Ἀθηναίης ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

12.

Αἰεὶ σφῷν κλέος ἔσσεται κατ' αἶαν,
Φίλταθ' Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτι τὸν τύραννον κτανέτην,
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

* 13.

Οὐδεὶς πώποτ' ἀνὴρ ἔγεντ' Ἀθήναις.

14.

Αἰαῖ, Λειψύδριον προδωσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι
ἀγαθούς τε καὶ εὐπατρίδας,
οἳ τότ' ἔδειξαν οἵων πατέρων ἔσαν.

15.

(⏓ –́ ⏑) – – –́ ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ – ⏓́ – ⏑ ⏑ – ⏑ –
⏑ –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

* * * *Ἐκ γῆς χρὴ κατιδεῖν πλόον,*
εἴ τις δύναιτο καὶ παλάμην ἔχοι·
ἐπεὶ δέ κ' ἐν πόντῳ γένηται,
τῷ παρεόντι τρέχειν ἀνάγκη.

16.

⏓ –́ ⏑ ⏑ – ⏑ –
⏓ –́ ⏑ ⏑ – ⏑ – –
× –́ – ⏑ ⏑ – ⏑ – ⏓
⏓ –́ ⏑ ⏑ – ⏑ –

Ὁ καρκίνος ὧδ' ἔφα
χαλᾷ τὸν ὄφιν λαβών·
εὐθὺν χρὴ τὸν ἑταῖρον ἔμμεν
καὶ μὴ σκολιὰ φρονεῖν.

17.

–́ ⏑ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏓ – ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓

Παῖ Τελαμῶνος Αἶαν αἰχμητά, λέγουσί σε
ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

18.

Τὸν Τελαμῶνα πρῶτον, Αἴαντα δὲ δεύτερον
ἐς Τροΐαν λέγουσιν ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

19.

Εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη,
καί με καλοὶ παῖδες φέροιεν Διονύσιον ἐς χορόν.

20.

Εἴθ' ἄπυρον καλὸν γενοίμην μέγα χρυσίον,
καί με καλὴ γυνὴ φοροίη καθαρὸν θεμένη νόον.

21.

ΠΡΑΞΙΛΛΗΣ.

x
⏓ ⏓ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓
x
⏓ ⏓ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓

Ἀδμήτου λόγον, ὦ ᾿ταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει,
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγα χάρις.

22.

Σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει,
σύν μοι μαινομένῳ μαίνεο, σὺν σώφρονι σωφρόνει.

23.

(ΠΡΑΞΙΛΛΗΣ.)

Ὑπὸ παντὶ λίθῳ σκορπίος, ὦ ᾿ταῖρ', ὑποδύεται·
φράζευ, μή σε βάλῃ· τῷ δ' ἀφανεῖ πᾶς ἕπεται δόλος.

24.

Ἁ ὗς τὰν βάλανον ταν μὲν ἔχει, τὰν δ' ἔραται λαβεῖν·
κἀγὼ παῖδα καλὴν τὴν μὲν ἔχω, τὴν δ' ἔραμαι λαβεῖν.

25.

Πόρνη καὶ βαλανεὺς τωὐτὸν ἔχουσ' ἐμπεδέως ἔθος·
ἐν ταὐτᾷ πυέλῳ τόν τ' ἀγαθὸν τόν τε κακὸν λόει.

26.

Ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλαν ἔχει
τιμὰν ἔν τε βροτοῖς ἔν τε θεοῖσιν κατ' ἐμὸν νόον.

27.

Ἔγχει καὶ Κήδωνι, διάκονε, μηδ' ἐπιλήθου,
εἰ δὴ χρὴς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

28.

ΥΒΡΙΟΥ.

–́ ⏑ – – x ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ – ⏓
– –́ ⏑ ⏑ – – –́ ⏑ – –
– –́ ⏑ – ⏑ x ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓
x ⏑ –́ ⏑ ⏑⏑ – ⏑ –́ ⏑ – ⏓

Εστι μοι πλοῦτος μέγας δόρυ καὶ ξίφος στρ.
καὶ τὸ καλὸν λαισήϊον, πρόβλημα χρωτός·
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
τούτῳ πατέω τὸν ἀδὺν οἶνον ἀπ' ἀμπέλω·
τούτῳ δεσπότας μνοίας κέκλημαι.

Τοὶ δὲ μὴ τολμῶντ' ἔχειν δόρυ καὶ ξίφος ἀντ.
καὶ τὸ καλὸν λαισήϊον, πρόβλημα χρωτός,
πάντες γόνυ πεπτηῶτες ἀμόν
. . . . . (προς)κυνεῦντί (με) δεσπόταν
καὶ μέγαν βασιλέα φωνέοντες.

29.

´– ⏑ ⏑ – ⏑ – ´– ⏑⏑ – ⏑ – ´– ⏑ ⏑ – ⏑ –

Χρήματα καὶ βίον Κλειταγόρᾳ τε κἀμοὶ μετὰ Θεσσαλῶν.

* 30.

x̲ – ´– ⏑ – ´– ⏑ – ´– ⏑ – ⏑ –
´– ⏑ – ⏑ ´– ⏑ ⏑ – ⏑ – –

Οὐ χρὴ πόλλ' ἔχειν θνητὸν ἄνθρωπον, ἀλλ' ἐρᾶν,
καὶ κατεσθίειν· σὺ δὲ κάρτα φείδῃ.

CARMINA POPULARIA.

ΙΟΥΛΟΣ.

1.

Πλεῖστον οὖλον ἵει, ἴουλον ἵει.

ΛΙΝΟΣ.

2.

Ὦ Λίνε (πᾶσι) θεοῖσιν
τετιμένε, σοὶ γὰρ ἔδωκαν
πρώτῳ μέλος ἀνθρώποισιν
φωναῖς λιγυραῖς ἀεῖσαι·
Φοῖβος δὲ κότῳ σ' ἀναιρεῖ,
Μοῦσαι δέ σε θρηνέουσιν.

ΥΜΝΟΣ ΕΙΣ ΑΡΤΕΜΙΝ.

3.

Ἄρτεμι, σοί μέ τι φρὴν ἐφίμερον
ὕμνον νεναι τε ὅθεν.

. . . .

Ἁ δέ τις ἄλλα χρυσοφάεννα
κρέμβαλα χαλκοπάρᾳα χερσίν.

ΥΜΝΟΣ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

4.

Ἀνάβαλ' ἄνω τὸ γῆρας,
ὦ καλὰ Ἀφροδίτα.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

5.

Μέλπωμεν
Διόνυσον ἀγλαόμορφον,
βακχεύτορα ξανθοκάρηνον.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

6.

Καλεῖτε θεόν.
Σεμελήϊ' Ἴακχε πλουτοδότα.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

7.

Ἐλθεῖν, ἥρω Διόνυσε,
Ἀλείων ἐς ναόν
ἁγνὸν σὺν Χαρίτεσσιν,
ἐς ναόν
τῷ βοέῳ ποδὶ θύων.
ἄξιε ταῦρε,
ἄξιε ταῦρε.

8.

Ἀνάγετ', εὐρυχωρίαν
τῷ θεῷ ποιεῖτε·
ἐθέλει γὰρ ὁ θεὸς ὀρθὸς ἐσφυρωμένος
διὰ μέσου βαδίζειν.

9.

Σοί, Βάκχε, τάνδε μοῦσαν ἀγλαΐζομεν
ἁπλοῦν ῥυθμὸν χέοντες αἰόλῳ μέλει,
καινάν, ἀπαρθένευτον, οὔτι ταῖς πάρος
κεχρημέναν ᾠδαῖσιν, ἀλλ' ἀκήρατον
κατάρχομεν τὸν ὕμνον.

10.

Ἀχαΐνην στέατος ἔμπλεων τράγον.

11.

Πόῤῥω γάρ, ὦ παῖδες, πόδα
μετάβατε καὶ κωμάξατε
βέλτιον.

12.

Ποῦ μοι τὰ ῥόδα, ποῦ μοι τὰ ἴα, ποῦ μοι τὰ καλὰ σέλινα;
Ταδὶ τὰ ῥόδα, ταδὶ τὰ ἴα, ταδὶ τὰ καλὰ σέλινα.

13.

Χαλκῆν μυῖαν θηράσω.
Θηράσεις, ἀλλ' οὐ λήψει.

14.

A. *Χέλει χελώνη, τί ποΐεις ἐν τῷ μέσῳ;*
B. *Μαρύομ' ἔρια καὶ κρόκην Μιλησίαν.*
A. *Ὁ δ' ἔκγονός σου τί ποΐων ἀπώλετο;*
B. *Λευκᾶν ἀφ' ἵππων εἰς θάλασσαν ἅλατο.*

15.

Ἔξεχ', ὦ φίλ' Ἥλιε.

16.

Ἥλιος Ἀπόλλων, ὁ δέ γ' Ἀπόλλων ἥλιος.

17.

Ἄμμες πόκ' ἦμες ἄλκιμοι νεανίαι.
Ἄμμες δέ γ' εἰμές· αἰ δὲ λῇς, αὐγάσδεο.
Ἄμμες δέ γ' ἐσσόμεσθα πολλῷ κάῤῥονες.

18.

Ἴωμεν εἰς Ἀθήνας.

19.

Μάκραὶ δρύες, ὦ Μέναλκα.

20.

Ἐκκόρει, κόρη κορώνη.

21.

Ὦ τί πάσχεις; μὴ προδῷς ἄμμ᾽, ἱκετεύω·
πρὶν καὶ μολὲν κεῖνον, ἀνίστω·
μὴ κακὸν μέγα ποιήσῃ σέ
κἀμὲ τὰν δειλάκραν·
ἁμέρα καὶ δή· τὸ φῶς διὰ τᾶς θυρίδος οὐκ ὁρῇς;

22.

Ἔς τε μέσον πεδίον Στενυκλήριον, ἔς τ᾽ ὄρος ἄκρον
εἵπετ᾽ Ἀριστομένης τοῖς Λακεδαιμονίοις.

23.

Ἐν φανερᾷ γενόμαν, πάτραν δέ μου ἁλμυρὸν ὕδωρ
ἀμφὶς ἔχει· μήτηρ δ᾽ ἔστ᾽ ἀριθμοῖο πάϊς.

24.

Κριθῆς ἀφλοίου χυλὸν ὀργάσας πίει.

25.

ΠΑΝΑΡΚΟΥΣ.

Αἶνός τίς ἐστιν, ὡς ἀνήρ τε κοὐκ ἀνήρ
ὄρνιθα κοὐκ ὄρνιθ᾽ ἰδών τε κοὐκ ἰδών
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην,
λίθῳ τε κοὐ λίθῳ βάλοι τε κοὐ βάλοι.

26.

Γαστὴρ ὅλον τὸ σῶμα, πανταχῇ βλέπων
ὀφθαλμός, ἕρπον τοῖς ὀδοῦσι θηρίον.

27.

Σῖτον ἐν πηλῷ φύτευε· τὴν δὲ κριθὴν ἐν κόνει.

28.

Λὶψ ἄνεμος ταχὺ μὲν νεφέλας, ταχὺ δ' αἴθρια ποιεῖ,
Ἀργέστῃ δ' ἀνέμῳ πᾶσ' ἕπεται νεφέλη.

29.

Ἦλθ', ἦλθε χελιδών,
καλὰς ὥρας ἄγουσα,
καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκά,
ἐπὶ νῶτα μέλαινα.
παλάθαν σὺ προκύκλει
ἐκ πίονος οἴκου,
οἴνου τε δέπαστρον,
τυρῶν τε κάνυστρον·
καὶ πύρνα χελιδὼν
καὶ λεκιθίταν
οὐκ ἀπωθεῖται. πότερ' ἀπίωμες, ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομεν,
ἢ τὰν θύραν φέρωμες ἢ τοὐπέρθυρον,
ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν·
μικρὰ μέν ἐστι, ῥᾳδίως μιν οἴσομεν·
ἂν δὲ φέρῃς τι,
μέγα δή τι φέροιο.
ἄνοιγ', ἄνοιγε τὰν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

30.

Δέξαι τὰν ἀγαθὰν τύχαν, δέξαι τὰν ὑγίειαν,
ἃν φέρομεν παρὰ τᾶς θεοῦ, ἃν ἐκαλέσσατο τήνα.

31.

Ἄλει μύλα ἄλει·
καὶ γὰρ Πιττακὸς ἄλει,
μεγάλας Μιτυλάνας βασιλεύων.

32.

Ὦ παῖδες, ὅσοι Χαρίτων τε καὶ πατέρων λάχετ' ἐσθλῶν,
μὴ φθονεῖθ' ὥρας ἀγαθοῖσιν ὁμιλίαν·

σὺν γὰρ ἀνδρείᾳ καὶ ὁ λυσιμελὴς ἔρως ἐπὶ
θάλλει πόλεσιν.

33.

Τὸν Ἑλλάδος ἀγαθέας
στραταγὸν ἀπ' εὐρυχόρου
Σπάρτας ὑμνήσομεν, ὦ
ἰὴ Παιάν.

34.*

Ως οἱ μέγιστοι τῶν θεῶν καὶ φίλτατοι
τῇ πόλει πάρεισιν·
ἐνταῦθα (γὰρ Δήμητρα καὶ) Δημήτριον
ἅμα παρῆγ' ὁ καιρός.
χὴ μὲν τὰ σεμνὰ τῆς Κόρης μυστήρια
ἔρχεθ', ἵνα ποιήσῃ,
ὁ δ' ἱλαρός, ὥςπερ τὸν θεὸν δεῖ, καὶ καλός
καὶ γελῶν πάρεστιν.
σεμνόν, ὅθι φαίνεθ', οἱ φίλοι πάντες κύκλῳ,
ἐν μέσοισι δ' αὐτός,
ὅμοιος, ὥσπερ οἱ φίλοι μὲν ἀστέρες,
ἥλιος δ' ἐκεῖνος.
ὦ τοῦ κρατίστου παῖ Ποσειδῶνος θεοῦ
χαῖρε κἀφροδίτης·
ἄλλοι μὲν ἢ μακρὰν γὰρ ἀπέχουσιν θεοί,
ἢ οὐκ ἔχουσιν ὦτα,
ἢ οὐκ εἰσίν, ἢ οὐ προσέχουσιν ἡμῖν οὐδὲ ἕν,
σὲ δὲ παρόνθ' ὁρῶμεν,
οὐ ξύλινον, οὐδὲ λίθινον, ἀλλ' ἀληθινόν·
εὐχόμεσθα δή σοι.
πρῶτον μὲν εἰρήνην ποίησον, φίλτατε·
κύριος γὰρ εἶ σύ.
τὴν δ' οὐχὶ Θηβῶν, ἀλλ' ὅλης τῆς Ἑλλάδος
Σφίγγα περικρατοῦσαν,
Αἰτωλὸς ὅστις ἐπὶ πέτρας καθήμενος,
ὥςπερ ἡ παλαιά,

τὰ σώμαθ᾽ ἡμῶν πάντ᾽ ἀναρπάσας φέρει,
κοὐκ ἔχω μάχεσθαι·
Αἰτωλικὸν γὰρ ἁρπάσαι τὰ τῶν πέλας,
νῦν δὲ καὶ τὰ πόρρω·
μάλιστα μὲν δὴ κόλασον αὐτός· εἰ δὲ μή,
Οἰδίπουν τιν᾽ εὑρέ,
τὴν Σφίγγα ταύτην ὅστις ἢ κατακρημνιεῖ,
ἢ σπίνον ποιήσει.

FRAGMENTA ADESPOTA.

I. ΕΛΕΓΕΙΑ.

1.

Ὡς ἀν᾽ ἐχινόποδας καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν
φύονται μαλακῶν ἄνθεα λευκοΐων.

2.

Ἡ νεότης ἀσύφηλος ἀεὶ θνητοῖσι τέτυκται,
εἰ δὲ δίκην βλάπτοι, πουλὺ χερειοτέρη.

3.

Θριαὶ (δὴ) τὴν γρηῦν ἐπιπνείουσι κορώνην.

4.

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς.

5.

Οὔ μοι ἔτ᾽ εὐκελάδων ὕμνων μέλει, οὐδ᾽ ἔτι μολπῆς.

6.

Οὐκέτι γιγνώσκουσιν Ἀθηναῖοι Μεγαρῆας.

7.

Παῖδες Ἀρίστωνος, κλεινοῦ θεῖον γένος ἀνδρός.

8.

Ἐσθλὸς ἐὼν ἄλλου κρείττονος ἀντέτυχεν.

9.

Ἦν θεὸς ἢ κρέσσων δή τις· ὀνησόμεθα.

10.

* *Οὐ πάντα θεοὶ πᾶσιν ἔδωκαν ἔχειν.*

11.

Ἐσθλοὶ μὲν γὰρ ἁπλῶς, παντοδαπῶς δὲ κακοί.

12.

Ἡμεῖς δ' εἰς Ἕλλης πόντον ἀπεπλέομεν.

13.

Τὸν φρουρὸν φρουρεῖν χρή, τὸν ἐρῶντα δ' ἐρᾶν.

14.

Κοῦραι ἐλαφρὰ ποδῶν ἴχνι' ἀειράμεναι.

15.

Ὀλίγης ἐστὶ διδασκαλίας.

II. *IAMBOI.*

16.

Ξάνθη παλαιῇ γρηῒ πολλοῖσιν φίλη.

17.

Περὶ σφυρὸν παχεῖα μισητὴ γυνή.

18.

Ἄνθευσαν ἀγαθοῖς πᾶσιν, οἷς θάλλει πόλις.

19.

Πριηπίδος τε τῆς πρὸ Βοσπόρου πόλεως.

20.

Πολλὰ δ' ἐν μεταιχμίῳ
Νότος κυλίνδει κύματ' εὐρείης ἁλός.

21.

Καὶ παχυσκελὴς ἀλετρὶς πρὸς μύλην κινουμένη.

22.

Βαῖνε λάξ, ἐπὶ τραχήλου βαῖνε, καὶ πέλα χθονί.

23.

Δῆμος ἄστατον κακόν
καὶ θαλάσσῃ πάνθ' ὁμοῖον ὑπ' ἀνέμου ῥιπίζεται,
καὶ γαληνὸς ἢν τύχῃ, πρὸς πνεῦμα βραχὺ κορύσσεται,
κἤν τις αἰτία γένηται, τὸν πολίτην κατέπιεν.

24.

Πρὸς στάθμῃ πέτρον τίθεσθαι, μήτι πρὸς πέτρῳ στάθμ

25.

Πέλλα γὰρ (πλείη)
τρυγὸς γλυκείης, ἣν ἔτικτεν Ἀνθηδών.

26.

Ὁ τὸν κυσὸν τρωθεὶς
ᾔδεις, ὅπου μάλιστα τοῦ κράνους χρεία.

27.

Βαῦ βαῦ καὶ κυνὸς φωνὴν ἵεις.

28.

Ἐγὼ μέν, ὦ Λεύκιππε, δεξιῇ σίττη.

29.

Κέρδαιν᾽ ἑταῖρε καὶ θέρους καὶ χειμῶνος.

30.

Μέλλοντας ἤδη παρθένοις ἀλινδεῖσθαι.

33.

Ἁμὲς δ᾽ Fειρήναν, τὲ δέ, τάρροθε Μῶσα λίγεια.

34. 35. 36. 37. 38.

Κὼ τοξότας Ἡρακλέης.
Κάλλιστ᾽ ὑπαυλέν.
Κὰ μεγασθενὴς Ἀσαναία.
Μελάμποδά τ᾽ Ἀρπόλυκόν τε.
Ἄρχοιμεν γὰρ κὠθρασίων.

39.

–́ ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑
– –́ ⏑ – –́ ⏑ ⏑ – – – ⏑ ⏑ – ⏓
–́ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑
–́ ⏑ ⏑ – ⏓
* * * *
–́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
× – –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
– –́ ⏑ – –́ ⏑ ⏑ – – – ⏑ ⏑ – ⏓
* * * *
× – –́ ⏑ – – – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – – – ⏑ ⏑̀ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
* * * *
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – – ⏓

Οἵ δέ νυ καλόν
σῶμα περισταδόν, ἠΰτε θηρός,
τοῦδ᾽ ἀάσαντο κύνες κρατεροί· πέλας
Ἄλκαινα πρώτα· μετὰ ταύταν δ᾽ ἄλκιμα τέκνα

Λυγκεὺς καὶ Βαλίος πόδας αἰνετός
ἠδ' Ἀμάρυνθος.

* * * * *

καὶ τότ' Ἀκταίονα κτεῖναν Διὸς ἐννεσίῃσιν·
πρῶτος γὰρ Μέλαμπος σφετέροιο ἄνακτος
Σπαρτός τ' Ὅμαργός τε Βορῆς τ' αἰψηροκέλευθος

* * * * *

οἵδ' Ἀκταίονος πρῶτοι φάγον, αἷμα δ' ἔλαψαν·
τοὺς δὲ μέτ' ἄλλοι πάντες ἐπέσσυθεν ἐμμεμαῶτες.

* * * * * *

ἀργαλέων ὀδυνῶν ἄκος ἔμμεναι ἀνθρώποισιν.

40.

Ἁ δ' ὑποδεξαμένα θαήσατο
χρύσεον αἶψα ποτήριον . . .

41.

Μήτ' ἐμῶ αὐτᾶς
Μήτε κασιγνήτων πόδας ὠκέας
τρύσῃς.

42.

Καὶ τὺ Διὸς θύγατερ μεγαλόσθενες.

43.

Καί τυ φίλιππον ἔθηκεν.

44.

Ἀλλ' ἁ πολυνεικής
δῖ' Ἑλένα.

45.

Ἄγ' αὖτ' ἐς οἶκον τὸν Κλεησίππω.

46.

Εἶμ' ὥτ' ἀπ' ὑσσάκω λυθεῖσα.

50.

Ὧτε χερνᾶτις γυνά
οὐδὲν προμαθιομένα.

51.

⏒ ́ ⏑ – – ́ ⏑ ⏑ – ⏑ – – ́ ⏑ ⏒

Τοιοῦτος εἰς Θήβας πάϊς ἀρμάτεσσ' ὠχημένος.

52.

– ́ ⏑ – – ́ ⏑ ⏑ – ⏑ – – ́ ⏑ ⏒

Μᾶλις μὲν ἔννη λεπτὸν ἔχοισ' ἐπ' ἀτράκτω λίνον.

53.

Ἐγώ φαμι ἰοπλοκάμων Μοισᾶν εὖ λαχεῖν.

61.

Ἀλλ' ὦ πάντ' ἐφόρεις Ἅλιε.

62.

Τὸ δ' ἐκ Σάπφως ἀμελγόμενος μέν τοι φέρω.

64.

⏑ ́ ⏑⏑ ⏑ – ́ ⏑ – ́ ⏑ ⏒

Τὸ πασσύριον ἡμῶν ἁπάντων γένος.

69. 70. 71.

Ἱστοπόνοι μείρακες.
Οὐδὲ λεόντων σθένος, οὐδὲ τροφαί.
Αἱ Κυθερείας ἐπιπνεῖτ' ὄργια λευκωλένου.

72.

Ὡς πὸς ἔχει μαινομένοισιν.

73.

Κιδαλίης κρηνίδος ἐπλανήθην.

74.

Πόθεν δ'
ὠλκὸς εὐπετὲς ἔβλης;

75.

Ναρκίσσου τερενώτερον.

76.

Γέλαν δ' ἀθάνατοι θεοί.

77.

Ἐπὶ δ' ἴαχε
Ζηνὸς ὑψερεφὴς δόμος
ζάχρυσος.

78.

Κάπρος ἡνίχ' ὁ μαινόλης
ὀδόντι σκυλακοκτόνῳ
Κύπριδος θάλος ὤλεσεν.

79.

⏖́ ⏑ – ⏖́ ⏑ – –
Γλυκυτάτων πρύτανιν ὕμνων.

80.

⏑ ⏖́ ⏑ – ⏑ –́ ⏑ – –
Μέλεα μελιπτέρωτα Μωσᾶν.

81. 82.

Κλῦθί μοι Ζανός τε κούρη.
Ζανί τ' ἐλευθερίῳ.

83.

S t r o p h a e.

– –́ ⏑ – ⏓ –́ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – ⏓
–́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏓
– –́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ – ⏓

Epodi.

. . . . . –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
⏑⏑́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – ⏑⏑́ ⏑ – – –́ ⏑ ⏑ –
– –́ ⏑ . . . .

– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏑ ⏑⏑́ ⏑ ⏓

Ἄνθρωπον (ὡς) ἄνδωκε γαῖα πρῶτα ἐνεγκαμένα καλὸν γέρας Στρ.
. . . . τὸ δ' ἐξευρεῖν χαλεπόν,
εἴτε Βοιωτοῖσιν Ἀλαλκομενεὺς λίμνας ὑπὲρ Καφισίδος
πρῶτος ἀνθρώπων ἀνέσχεν,
εἴτε Κουρῆτες ἔσαν γένος Ἰδαῖοι θεῶν,
ἢ Φρύγιοι Κορύβαντες,
οὓς Ἅλιος πρώτους ἐπεῖδεν δενδροφυεῖς ἀναβλαστόντας,
εἴτ' Ἀρκαδία προσελαναῖον Πελασγόν,
ἢ Ῥαρίας Δίαυλον οἰκιστῆρ' Ἐλευσίς,
ἢ καλλίπαιδα Λᾶμνος ἀρρήτων ἐτέκνωσε Κάβειρον ὀργίων, Ἀντ.
εἴτε Πελλάνα Φλεγραῖον Ἀλκυονῆα Γιγάντων πρεσβύτατον.
* * * * * * * *

* * * * * φαντὶ δὲ πρωτόγονον Γαράμαντα Επ.
Λίβυες αὐχμηρῶν πεδίων ἀναδύντα γλυκείας Διὸς ἀπάρξασθαι βαλάνου·
Νεῖλος δὲ . . . .
σαρκοῦμεν' ὑγρᾷ θερμότατι ζωὰ σώματ' ἀναδιδοῖ.

84.

. . . . . –́ ⏑ ⏑ ⏑⏑́ –́ ⏑ –
–́ ⏑ – – . . .

Ὅ ττι κεν ἐπ' ἀκαιρίμαν
γλῶσσαν ἔλθῃ.

85.

–́ ∪ – ∪ –́ ∪ – – –́ ∪ – ∪ –́ ∪ – –
–́ ∪ ∪ – – ∪ ∪ –

Οὐ γὰρ ἐν μέσοισι κεῖται δῶρα δυςμάχητα Μοισᾶν
τὠπιτυχόντι φέρειν.

86.

– –́ ∪ – –́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ – –
–́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – –́ –

Ναὶ τὰν Ὄλυμπον καταδερκομέναν σκαπτοῦχον Ἥραν,
ἔστι μοι πιστὸν ταμιεῖον ἐπὶ γλώσσας.

87.

–́ ∪ – – –́ –
–́ ∪ ∪ – ∪ ∪ –

Ὦ γλυκεῖ᾽ εἰράνα,
πλουτοδότειρα βροτοῖς.

88.

. . . ∪ ∪ – ∪ – – –́ ∪ ∪ – ∪̄
–́ ∪ ∪ – – –́ ∪ ∪ – –
x
– ∪ –́ ∪ ∪ – ∪ – – –́ ∪ ∪ – ∪ –
x
– – –́ ∪ ∪ – ∪ – ∪ – – –́ ∪ –
x
– – –́ ∪ ∪ – ∪ ∪ – –́ ∪ ∪ – ∪̄

Προβάτων γὰρ ἐκ πάντων κελάρυξεν
ὡς ἀπὸ κρανᾶν φέρτατον ὕδωρ
θάλεον γάλα· τοὶ δ᾽ ἐπίμπλων ἐσσύμενοι πίθους·
ἀσκὸς δ᾽ οὐδέ τις ἀμφορεὺς ἐλίνυ᾽ ἐν δόμοις·
πέλλαι γὰρ λίθινοί τε πίθοι πλᾶσθεν ἅπαντες.

89.

∪ ∪ –́ ∪ ∪ – ∪ – –́ ∪ ∪ – – –́ ∪ –
– –́

Ὅτε Τυνδαριδᾶν ἀδελφῶν ἅλιον ναύταν πόθος
βάλλει.

90.

´– ⏑ ⏑ – ´– ⏑ – – ´– ⏑ – – ´– ⏑ ⏓

Νυκτὸς ἀϊδνᾶς ἀεργηλοῖό ϑ᾿ ὕπνου κοίρανον.

91.

Εὐρύοπα κέλαδον ἀκροσόφων ἀγνύμενον διὰ στομάτων.

92.

Οὐ ψάμμος ἢ κόνις ἢ πτερὰ ποικιλοτρίχων οἰωνῶν
τόσσον ἂν χεύαιτ᾿ ἀριϑμόν.

93.

⏑ ´– ⏑ – ⏑ ´– ⏑ ⏑ – ⏓
´– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – –
⏑ ⏑ ´– ⏑ – ´– ⏑ ⏑ – –

Ἔπειτα κείσεται βαϑυδένδρῳ
ἐν χϑονὶ συμποσίων τε καὶ λυρᾶν ἄμοιρος
ἰαχᾶς τε παντερπέος αὐλῶν.

94.

´– ⏑ – ´– ⏑ –
– ´– ⏑ – ⏑⏑ ⏑ ⏑⏑ ´– –
⏑ ´– ⏑ ⏑ ⏑⏑ ´– ⏑ –

Ὥς ἄρ᾿ εἰπόντα μιν
τηλαυγὲς ἀμβρόσιον ἐλασίππου
πρόσωπον ἀπέλιφ᾿ ἁμέρας.

95.

– ´– ⏑ ⏑ – ⏑ ⏑ – –
´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ –
´– ⏑ – ⏑ ´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ –

Λευκᾶς καϑύπερϑε γαλάνας
εὐπρόσωποί σφας παράϊξαν ἔρωτες ναΐας
κλαΐδος χαραξιπόντου δαιμονίαν ἐς ὕβριν.

96.

Οὐκ αἰεὶ θαλέθοντι βίῳ
βλάσταις τε τέκνων βριθομένα γλυκερὸν
φάος ὁρῶσα.

97.

´ ‿ – – ´ ‿ ‿‿ ‿ –
´ ‿ ‿ – ‿ – – ´ ‿ ‿ – ´ ‿ ‿ – ´ ‿ –

Τοιάδε θνατοῖσι κακὰ κακῶν,
ἀμφί τε κῆρες εἰλεῦνται, κενεὰ δ' εἴςδυσις οὐδ' αἰθέρι

98.

– ´ ‿ ‿ – ‿ ‿ – – ´ ‿ – – ´ . . .

Ἄλλον τρόπον ἄλλον ἐγείρει φροντὶς ἀνθρώπων.

99.

‿ ´ ‿ ‿ – ‿ ‿ – ‿ ´ ‿ –
– ´ ‿ – –

Πρὸ χείματος ὥστ' ἀνὰ ποντίαν ἄκραν
Βορέα πνέοντος.

100.

. . . . ‿ ‿ – ‿ ‿ – ‿ ´ ‿ –
× – ´ ‿ ‿ – ´ ‿ ‿ – ‿ ‿ – ‿ ‿ – –
‿ ‿ ´ ‿ ‿ – ‿ –
´ ‿ ‿ – ‿ ‿ – ‿ – ´ –

. . . χαροπὰν κύνα· χάλκεον δέ οἱ
γναθμῶν ἐκ πολιᾶν φθεγγομένᾳ ὑπάκουε μὲν Ἴδα
Τένεδός τε περιρρύτα,
Θρηΐκιοί τε φιλήνεμοι πέτραι.

101.

Ἀλάθεια θεῶν ὁμόπολις.

102.

Τηλέπορόν τι βόαμα λύρας.

103.

⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

῾Ο τὸν πίτυος στέφανον.

104.

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

Ποικίλλεται μὲν γαῖα πολυστέφανος.

105.

Δοῦρας ᾿Αλεξάνδροιο ἀταρβές.

106.

Πολύμνια παντερπὴς κόρα.

107.

Οὐκ εἶδον ἀνεμωκέα κόραν.

108.

Σπένδωμεν ταῖς Μνάμας παισὶν
Μούσαις καὶ τῷ
μουσάρχῳ Λατοῦς υἱεῖ.

109.

᾿Ω Ζηνὸς καὶ Λήδας κάλλιστοι σωτῆρες.

110.

Ποίαν δῆθ᾿ ὁρμάσω; ταύταν
ἢ κείναν; κείναν ἢ ταύταν;

111.

Βρόμιε, δορατοφόρ᾿, ἐνυάλιε, πολεμοκέλαδε πάτερ ῎Αρη.

112.

῎Ιακχε θρίαμβε, σὺ τῶνδε χοραγέ.

113.

Σοὶ Φοῖβε Μοῦσαί τε συμβῶμεν.

114.

Κέχυται πόλις ὑψίπυλος κατὰ γᾶν.

115.

Λέγε δὲ σὺ κατὰ πόδα νεόχυτα μέλεα.

116.

Ἴθι μόλε ταχύποδος ἐπὶ δέμας ἐλάφου
πτεροφόρον χερσὸν καθημένα.

117.

Ξεῖνε, τὸν Ἀρχιλόχου τάφον.

118.

Ἴθι μᾶτερ μεγάλη.

119.

Τίν᾽ ἀκτάν, τίν᾽ ὕλαν δράμω; ποῖ πορευθῶ;

120.

Οἱ δ᾽ ἐπείγοντο πλωταῖς ἀπήναισι χαλκεμβόλοισιν.

121.

Κρησίοις ἐν ῥυθμοῖς παῖδα μέλψωμεν.

123.

Ὁ Πύθιος μεσομφάλοις θεὸς παρ᾽ ἐσχάραις.

124.

Γαλλαὶ μητρὸς ὀρείης φιλόθυρσοι δρομάδες,
αἷς ἔντεα παταγεῖται καὶ χάλκεα κρόταλα.

125.

Πελίου τε Μάγνησσαν κόραν.

126.

Κλάδα χρυσεόκαρπον.

127.

Καὶ τὰν ἀκόρεστον ἀυάταν.

128.

Διὰ σὲ καὶ τεὰ δῶρ' εἴτε σκῦλα. . . .

129.

–́ ⏑ ⏑ – –́ ⏑ – ⏖́ ⏑ – ⏑ ⏑ – ⏖́ ⏑ –

Εὐθὺς ἀνέπλησεν ἀεροβάταν μέγαν οἶκον ἀνέμων.

143.

– –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –

Οὐ χρυσὸς ἀγλαὸς σπανιώτατος ἐν θνατῶν δυσελπίστῳ βίῳ
οὐδ' ἀδάμας, οὐδ' ἀργύρου κλῖναι πρὸς ἄνθρωπον δοκιμαζόμεν' ἀστράπτει πρὸς ὄψεις,
οὐδὲ γαίας εὐρυπέδου γόνιμοι βρίθοντες αὐτάρκεις γύαι,
ὡς ἀγαθῶν ἀνδρῶν ὁμοφράδμων νόησις.

144.

– –́ ⏑ ⏑ – – –́ ⏑ –
–́ – –́ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – –́ – –́ – –́ ⏑ – ⏓
⏑ ⏑ –́ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ ⏖ ⏑ –
⏑ ⏑ –́ ⏑ –́ ⏑ ⏑ –

Κλωθὼ Λάχεσίς τ' εὐώλενοι
κοῦραι Νυκτός,
εὐχομένων ἐπακούσατ', οὐράνιαι χθόνιαί τε
δαίμονες ὦ πανδείμαντοι, πέμπετ' ἄμμιν
ῥοδόκολπον Εὐνομίαν λιπαροθρόνους τ' ἀδελφάς, Δίκαν
καὶ στεφανηφόρον Εἰράναν· πόλιν τε
τάνδε βαρυφρόνων
λελάθοιτε συντυχιᾶν.

145.

Μισῶ μνάμονα συμπόταν.

146.

⏑ ⏑́ – – – ⏑ –́ ⏑ ⏑ – –
–́ – – –́ ⏑ – –́ ⏑ – –

Ὁδεύει μοῖρα πρὸς τέλος ἀνδρῶν,
οἳ τὰν πρώταν λελόγχασι τιμάν.

Fragmentorum numeri huius editionis cum numeris praecipuarum editionum collati.

Tyrtaeus.

Ed. Bach.	Haec ed.[1]
1	2
2	4
3, 4	5
5	6. 7
6	10
7	11
8	12
11	15
12	16

Mimnermus.

Ed. Bach.	Haec ed.
1	1
2	2
3	5
4	3
5	4
6	6
7	7
8	8
9	12
10	11
12	9
13	14

Solon.

Ed. Bach.	Haec ed.[2]
1	25
2	23
3	27
4	13
5	24
6	5
7	14
8	16
9	17
10	18
11	26
12	1. 2. 3
13	4
14	5
15	6
16	7
17	10. 12
18	9
19	11
20	22
21	20. 21
22	19
23	31
24	32—34
25	35—37
26	38. 39
27	41

Critias.

Ed. Bach.	Haec ed.
1	1
2	2
3	3. 4
4	5
5	6
7	7

Aristotelis Peplus.

Ed. Canter.	Haec ed.[3]
1	21
2	19
3	16
4	33
5	34
6	7
7	8
8	14
9	35
10	1
11	2
12	3
13	9
14	10
15	11
16	30
17	31
18	36
19	25
20	12
21	13
22	23
23	15
24	18
25	40
26	17
27	39
28	4
29	5
30	6
31	26
32	24
33	29
34	20
35	22
36	27
37	32
38	28
39	37
40	38
41	46
42	47
43	45
44	43
45	41
46	48
47	42
48	44

Callimachus.

Ed. Ernest.	Haec ed.[4]
11	5
12	10
13	9
19	17
20	19. 140
21	18
26	26
27	29
32	32
36	162
67	115
76	179
77	158
82	160
83	142
84	155
85	141
86	143
87	145
88	153
89	150
90	144
91	154
92	141
93	146
94	149
95	152
96	151
101	27
102	25
103	73
104	42
105	77
106	14
107	112
108	46
109	113
111	114
112	38
113	36. 37
114	166
115	165
116	163
117	164
119	16
120	61. 84
121	111
122	39
123	81
126	116
127	11
128	31
129	83
133	117
134	118
135	119
136	62
137	120
138	109
139	85
141	87
142	56
146	167–169
147	21

[1] Accessit in hac editione fragm. 3.
[2] Accessit fragm. 8.
[3] Accesserunt numeri 49—63.
[4] Access. fragmm. 1—4. 8. 13. 20. 23. 33—35. 45. 50. 52. 54. 66. 74. 75. 78. 79. 86. 104. 107. 108. 110. 126—128. 147. 148. 156. 157, 161.

Ed. Ernest.	Haec ed.
148	136
150	137
152	100. 124
153	88
154	7. 51
156	53
159	49
160	69
161	60
163	68
165	106
167	138
169	24
170	97
171	98
172	22
174	105
175	44
176	96
179	133
188	80
193	71
194	15
195	47
197	76
198	58
199	125
201	95
202	94
203	48
204	55
207	93
210	92
211	57
213	91
215	80
216	59
218	63
220	89
221	90
223	123
224	67
225	121
226	64
229	28
230	70
231	65
234	6
246	135
250	72
253	40
260	132
269	43
277	41
281	40
293	30
305	103
322	58
363	134
419	129
422	122. 130
424	12
443	139
448	82
460	131
462	99
463	102
464	101
472	6

Parthenius.

Ed. Meinek.	Haec ed.
3	1
5	2
6	3
7	4
8	5
10	6
23	8
29	9
33	10

Archilochus.

Ed. Liebel.	Haec ed.[1]
1	103
2	24
3	20
4	26
5	31
6	87
7	28
8	38
9	20
10	53
11	30
12	29
13	28
14	70
15	23
16	39
17	27
18	41
19	33
20	37
21	42
22	36
23	90
24	43
25	35
26	32
27	44
29	57
30	76
31	68
32	58
33	60
34	65
35	56
36	77
37	72
38	79
39	61
40	66
41	75
42	63
43	73
44	78
45	55
46	72
47	80—82
48	9
49	5. 15
50	4
51	6
52	1
53	13
54	12
55	11
56	3
57	18
58	7
59	86a
60	88a. 89
61	101
62	91
63	92
64	102
65	96
68	84
69	118
72	17
73	45
74	64
75	67
76	98
77	85
78	23
79	95
80	113
81	14
82	94
83	52
84	97
85	10
86	19
87	54
89	25
90	71
94	115
95	99
96	74
97	100
100	69
101	106
102	105
103	110
104	108
105	109
110	83
113	43
148	59
167	88b

Ed. Welck.	Haec ed.

Simonides Amorginus.

Ed. Welck.	Haec ed.
1	1
2	2
3	3
4	4
6	5
7	6
8	7
9	8. 9
10	33
12	35
13	15
14	10
15	11
17	12
18	13
19	14
20	16
21	17
22	18
23	19
24	20
25	21
26	22. 23
27	24
28	25

Hipponax.

Ed. Welck.	Haec ed.[2]
1	1
2	29A
3	29B
4	11
5	2
6	13
7	49
8	51
9	18. 19

[1] Access. fragmm. 2. 8. 16. 21. 22. 34. 40. 62. 86b. 93. 95. 107. 111. 114. 115.
[2] Access. fragmm. 12. 14. 15. 32. 41. 42. 60. 61. 62. 64. 74.

Ed. Welck.	Haec ed.
10	16.17
11	27
12	28
14	20
15	21
16	30
17	31
18	1
19	33
20	34
21	36
22	39
23	37
24	38
26	35
27	40
28	44
29	80
30	45
31	46
32	79
33	47
34	48
35	50
36	52
37	63
38	53
39	54
40	55
41	56
42	57
43	58
44	8—9.11
47	81
53	72
54	25
55	73
56	85
57	82
58, 59	83
60	84
61	59
64	90
65	76
111	92
112	78
113	43.91
114	89
115	93

Alcman.

Ed. Welck.	Haec ed.[1]
1	1
2	4
3	8
4	36
5	52
6	7
7	81
8	38
10	53
11	20
12	21
13	22
14	27
17	69
18	70
19	64
20	66
21	24
22	60
23	25
24	72
25	26
26	28A
27	28B
28	71
29	15
30	30
31	2
32	18
33	18
34	29
35	79.80
36	68
37	19
40	37
45	55
47	39
48	63
50	31
51	32
52	62
53	83
59	56
60	41
63	78
64	40
65	42
66	9
67	16
68	82
70	44
73	59
74	73
75	74
77	75
78	3
79	46
80	48
81	49
82	33
113	17
121	57
123	51
124	34

Sappho.

Ed. Neuian.	Haec ed.[2]
1	1
2	2
3	3
4	4
5	5
6	6
8	17
9	37
11	18
12	19
14	33
15	67
16	32
19	68
20	75
21	64
22	65
23	70
24	45
25	44
26	46
27	43
29	72
30	56
31	89
32	90
33	14
34	104
35	93
36	39
37	40.41
38	89
39	57
40	43
41	101
42	76A 76B
43	78
44	77
45	80
46	54
47	11
49	105
50	60
51	109
52	87
53	86
54	50
55	52
56	53
57	88
58	58.59
61	29
62	16
63	99
64	100
65	106
66	30
67	31
68	95
69	92
70	51
71	102
72	81
73	91
74	42
75	38
76	84
77	83
78	103
79	51
80	85
81	74
83	20
84	21
86	82
87	12
88	66
90	10
93	28
106	3
110	98
128	62
133	93
135	27
137	118
138	119
139	120

Alcaeus.

Ed. Matth.	Haec ed.[3]
1	15
2	18
3	19
4	20
5	37
7	21
8	33
10	22
11, 12	23
14	25
15	77.80
20	1
22	5
24	13
25	63
26	48
27	34

[1] Access. fragmm. 6. 23. 47. 50. 61. 65. 67. 76. 77 84.
[2] Access. fragmm. 9. 14. 22. 23. 35. 36. 55. 61. 63. 69. 71. 73. 94.
[3] Access. fragmm. 27—31. 40. 42. 46. 60. 61. 64. 70. 71.

Ed. Math.	Haec ed.
28a	39
28b	45
29	35
30	44
31	41
32	36
33	36
34	47
35	43
36	53
37	57
40	56
41, 42	55
43	58
44	97
47	81
48	89
49	49
50	50
51	93
53	84
54	9
56	65
59	51
60	52
65	92
66	95
67	33
68	85
69	59
70	94
71	11
72	88
73	72
75	87
77	96
79	83
80	73
81	74
84	68
85	82
89	76
91	91
92	99
94b	26
94d	98
94e	86
99	75
123	69
124	62

Stesichorus.

Ed. Klein.	Haec. ed.[1]
1	1
2	2
3	3
5	5
7	7
10	8
13	67
18	16
20	36
21	37
24	18
29	69
39	34
43	42
44	26
46	27
55	44
68	50
71	48
72	17
74	35
75	33
77	53
78	45
79	51
80	52
84	49
95	32

Ibycus.

Ed. Schneidew.	Haec ed.[2]
1	1
2	2
3	4
4	5
7	6
8	7
15	9

Ed. Schneidew.	Haec. ed.
27	16
32, 33, 34	22
37	20
39	26
40	23
43	17
51	24
52	21

Anacreon.

Ed. Bergk.	Haec ed.[3]
1	1
2	2
3	3
4	4
5	18
7	6
8	8
9	9
11	13
15	14
16	17
17	19
18	20
19	21
20	22
21	23
22	24
23	25
24	26
26	28
27	30
28	31
29	32
30	33
32	35
33	36
34	37
35	38
36	39
37	40
38	41
39	42
40	43
41	44
42	45
43	46
44	47
45	48
46	49
48	51
49	52
50	53
51	16
52	54
53	55
54	56
55	57
56	58
60	62
61	63
62	64
66	67
67	68
69	94
73	69
74	70
75	71
76	72
77	73
78	74
79	75
80	76
81	77
82	78
83	79
84	86
85	84
86	85
87	87
88	88
89	89
90	90
91	91
92	92
93	93
94	82
95	83
98	80
122	29

Ed. Bergk.	Haec ed.
Epigr.	
1	108
2	102
3	109
4	110
5	104
6	105
7	106
8	107
9	103
10	111
13	112
14	101
15	100
16	113
17	115
18	116
19	114

Anacreontea.

Edd. vulgar.	Haec ed.[4]
1	23
2	24
3	31
4	30
5	42
6	41
7	29
8	35
9	14
10	[illegible]
11	6
12	9
13	11
14	12
15	7
16	26A
17	3
18	4
19	21
20	22
21	17
22	18
23	34
24	38

[1] Access. fragm. 46.
[2] Access. fragmm. 3. 27.
[3] Access. fragm. 15.
[4] Access. numeri 39. 57. 59—67.

Edd. vulgar.	Haec ed.
25	43
26	46
27	47
28	15
29	16
30	19
31	8
32	13
33	25
34	49
35	52
36	50
37	44
38	45
39	48
40	33
41	36
42	49
43	32
44	28
45	27A.
46	27B.C.
47	37
48	2
49	2B.
50	55
51	56
52	58
53	53.54
54	51
55	26B.
58	62
59	5
65	1
66	20

Simonid. Ceus.

Ed. Schneidew.	Haec ed.[1]
7	51
9	4
10	57
12	5

Ed. Schneidew.	Haec ed.
15	15
16	17
17	7
18	12.40.41
19	13
20	8
24	60
25	53
26	52
28	10
29	54
30	55
32	58
37	201
43	29
44	30
45	31
46	32
50	37
51	36
52	38
54	39
59	84
60	85
61	117
62	118
63	119
64	120
65	87
66	88
67	89
68	89
69	42
72	43
73	44
75	46
76	47
77	46
83	59
91	49
94	50
105	64
106	65
107	66

Ed. Schneidew.	Haec ed.
110	68
111	69
116	70
117	71
119	72
120	73
121	74
125	76
147c	80
148	90
149	91
150	92
151	93
152	94
153	95
154	96
155	97
156	99
157	100
158	101
159	102
160	103
161	104
165	105
166	106
167	110
168	121
169	113
170	114
171	184
172	115
173	116
174	121
175	122
176	123
177	124
178	125
179	126
180	127
181	129
182	130
183	131
184	132
185	133

Ed. Schneidew.	Haec ed.
186	171
187	134
188	135
189	136
190	137
192	138
193	139
194	140
195	141
196	142
198	143
199	144
200	145
201	146
202	147
203	148
204	149
205	150
206	151
207	152
208	153
209	128
210	154
211	155
212	156
213	157
214	158
215	159
216	160
217	161
218	162
219	163
222	164
223	165
224	176
227	170
228	172
229	173
230	174
231	175

Ed. Neuian.	Haec ed.

Bacchylides.

Ed. Neuian.	Haec ed.
1	1
2	4
3	2
4	3
5	6
6	7
7	8
8	9
10	11
12	13
13	14
15	41
18	19.20
19	21
20	22
21	23
22	31
23	24
24	25
25	26
26	27
27	28
28	48
29	49
30	29
32	33
33	34
34	3
35	35
36	36
37	37
38	38
39	39
40	40
42	42
43	43
60	44

[1] Access. fragmm. 16. 62. 82. 98. 107. 108. 109. 111. 166. 167. 177. 178—183. 185—188.

LIPSIAE, EX OFFICINA C. P. MELZERI.

In der **Reichenbach**'schen Buchhandlung in Leipzig ist erschienen und durch alle Buchhandlungen zu beziehen:

POETAE LYRICI GRAECI

RECENSUIT

THEODORUS BERGK.

Editio altera auctior et emendatior.

8 maj. 69½ Bog. eleg. broch. Preis 5½ Rß.

Diese **erste** und **einzige** Gesammtausgabe der *Poetae Lyrici Graeci* ist hier in zweiter vielfach vermehrter und verbesserter Bearbeitung erschienen. Dieselbe enthält die Oden von Pindar nebst den Fragmenten, Theognis mit den anderen Elegikern, die Iambographen Anacreon nebst den übrigen melischen und dithyrambischen Dichtern, sowie die Skolien, Volkslieder u. s. w., im Ganzen die Gedichte und Fragmente von mehr als hundert Dichtern, die zum Theil hier zum ersten male gesammelt, alle aber vielfältig berichtigt und vermehrt worden sind. Während die erste Ausgabe nur eine Auswahl des kritischen Materials darbot, findet sich in der neuen Bearbeitung der vollständige Apparat.

Die Heidelberger Jahrbücher f. 1853. bringen darüber folgende Recension:

„Die erste Ausgabe dieser Sammlung ist hinreichend bekannt und verbreitet: das Erscheinen einer neuen Ausgabe jedenfalls freudig zu begrüssen in einer Zeit, wo jede neue Erscheinung der Art auf dem Gebiete der classischen Alterthumskunde mit so grossen Schwierigkeiten zu kämpfen hat. Es verdient aber die neue Ausgabe aller Berücksichtigung, da sie vor der ersten Manches voraus hat und auf jeder Seite die sorgfältig nachbessernde und vervollständigende Hand des Herausgebers erkennen lässt. Es erscheinen hier in der That zum erstenmal die sämmtlich noch erhaltenen Reste der griechichen Lyrik in aller der Vollständigkeit vereinigt, die nur durch neue, kaum auf diesem Gebiet, wenigstens in grösserer Ausdehnung, zu erwartende Funde noch erweitert werden könnte. Aber nicht bloss die Vereinigung aller dieser Reste in Ein Corpus ward erstrebt, sondern insbesondere auch dahin das Streben des Herausgebers gerichtet, den Text dieser Reste in

einer möglichst correcten, kritisch berichtigten Gestalt, wie er nach den ältesten Dokumenten sich herausstellt, zu liefern. Und damit Jeder, der diesen Text gebraucht, auch davon sich selbst überzeugen könne, ist unter dem Text die Rechenschaftsablage in dem kritischen Apparat, den diese zweite Ausgabe in grösserer Vollständigkeit und Genauigkeit bringt, enthalten; hier wird man nichts von Belang vermissen, hier sind neben den Lesarten der Handschriften auch die der älteren kritisch beachtenswerthen Ausgaben, so wie die zahlreichen Verbesserungsvorschläge neuerer Bearbeiter aufgeführt, unter denen auch die des Herausgebers eine namhafte Stelle einnehmen, obwohl er nur an verhältnissmässig wenigen Stellen es wagte, derartige Verbesserungen im Widerspruch mit der handschriftlichen Lesart in den Text selber aufzunehmen, und daher auch meist nur da, wo keine andere Aushülfe bei der Verdorbenheit der urkundlichen Ueberlieferung möglich war. So liegt uns also jetzt hier der gesammte kritische Apparat zu diesen Resten griechischer Lyrik in einer gedrängten und übersichtlichen Zusammenstellung vor; eingeschalten in demselben finden sich einzelne, durch die Kritik selbst hervorgerufene Bemerkungen über den richtigen Sinn und die Auffassung einzelner Stellen; eine weiter gehende, umfassende Erklärung mittelst eines sprachlichen oder sachlichen Commentars lag dem Unternehmen fern, das zunächst nur die Gestaltung des Textes, und die endliche Feststellung desselben, so weit solches überhaupt möglich ist, ins Auge gefasst und allerdings in Vielem, man kann wohl sagen, auch zu einem sicheren Abschluss gebracht hat; wie dies auch nach den diesem Zweige der hellenischen Poesie insbesondere zugewendeten Studien des Herausgebers wohl zu erwarten war."



